Ὁ στρατηγὸς παρώξυνε τοὺς στρατιώτας εἰς τὴν μάχην.—Οἱ κακοὶ οὐδέποτε θὰ καταστρέψωσι τὸν καρπὸν τῆς σοφίας.—Οἱ ἐχθροὶ ἔχουσι διασπείρη τὴν φήμην ὅτι (Ἀπαρέμφ. μετ' Αἰτιατ.) ὁ στρατὸς ἡμῶν ἐνικήθη.—Οἱ πολῖται ἐξεδικήθησαν τοὺς ἐχθροὺς διὰ τὴν ἧτταν.—*Ἂν ἔχετε ζῆλον, πάντα ταχέως θὰ τελειώσετε.—Οἱ διασκορπισθέντες ἐχθροὶ εἶχον φανερωθῆ πάλιν (Ὑπερσ. Β'.).—Μετὰ καλῶν ἀνθρώπων συναναστρεφόμενος θὰ εὐφρανθῇς πολύ.—Καλὸς πολίτης οὐδέποτε θὰ ὀργνῆ ὅτι φροντίζει (Μετοχ.) περὶ τῆς δόξης του μᾶλλον ἢ περὶ τῆς κοινῆς σωτηρίας.—*Ἂν ἐσυμπάθησες τοὺς δυστυχεῖς (Μετοχ. Ἀόρ. Μέσ.), καὶ ὅταν δυστυχήσῃς (Μετοχ.), θὰ τύχῃς συμπαθείας.—Διὰ τὴν νίκην πάντες οἱ πολῖται ἐχάρησαν.—Ἡ πόλις ἔχει καταστραφῆ ὑπὸ τῶν ἐχθρῶν.

§ 115. Ἰδιαίτεραι ἀνωμαλίαι εἰς τὸν σχηματισμὸν ῥημάτων τινῶν φωνηεντολήκτων καὶ συμφωνολήκτων.

1. Πολλὰ ῥήματα ἐνεργητικὰ σχηματίζουσι τὸν μέλλοντα κατὰ τὸν τύπον τῶν μέσων, οἷον·

---

[1] Ἀπώλεσε. — [2] Ἴδε Γύμνασμ. ΛΗ'. Συντακτ. καν. — [3] Ἀττικ. Συνταξ.
[4] Ἀόρ. μὲ σημ. Ἐνεστ., ἴδε Συντακτ.— [5] Ἴδε Γύμνασμ. ΛΗ'. Συντακτ. καν.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἀκούω, Μέλλ. ἀκούσομαι, Ἀόρ. ἤκουσα·

ἀπαν-άω (ἀπαντῶ), Μέλλ. ἀπαντήσομαι. Ἀόρ. ἀπήντησα·

ἀπολαύω (ἀπολαμβάνω), Μέλλ. ἀπολαύσομαι, Ἀόρ. ἀπέλαυσα κλπ. Ἴδε § 143. 6'.

2. Τὰ ἐφεξῆς εἰς **αέω** ἢ **ἄω** καὶ **έω** ῥήματα, τῶν ὁποίων ἡ ῥίζα προῆλθε κατ' ἀρχὰς ἐκ τοῦ **αυ** καὶ **ευ** (αF, εF), λαμβάνουσι πάλιν τὸ **υ** εἰς τὸν σχηματισμὸν τῶν χρόνων·

καίω (Ἀττ. καΐω, ἄνευ συναιρέσεως), καύσω, ἔκαυσα, κέκαυκα, κέκαυμαι, ἐκαύθην, καυθήσομαι, Ῥημ. Ἐπιθ. καυστός·

κλαίω (Ἀττ. κλαΐω, ἄνευ συναιρέσ.), κλαύσομαι καὶ κλαυσοῦμαι (Ἀριθ. 5), ἔκλαυσα κλπ. ἴδε § 124, 13·

θέω (τρέχω), θεύσομαι καὶ θευσοῦμαι (Ἀρ. 5)· οἱ λοιποὶ χρόνοι ἐλλείπουσιν· ἴδε τρέχω § 125, 6.

νέω (κολυμβῶ), νεύσομαι καὶ νευσοῦμαι (Ἀρ. 5), ἔνευσα, νένευκα, νευστέον·

πλέω, πλεύσομαι καὶ πλευσοῦμαι (Ἀρ. 5), ἔπλευσα, πέπλευκα, πέπλευσμαι, ἐπλεύσθην, πλευστέος (§ 94)

πνέω, Μέλλ. πνεύσομαι καὶ πνευσοῦμαι (Ἀριθ. 5), ἔπνευσα, πέπνευκα, πνευστός·

ῥέω, Ποιητ. ῥεύσομαι, σπανίως ἐῤῥύησα· ἀντ' αὐτῶν ῥυήσομαι, ἐῤῥύην (§ 141). Οὕτω δὲ καὶ ὁ Παρακμ. ἐῤῥύηκα, Ῥημ. Ἐπιθ. ῥυτός.

Σημ. α'. Τὸ ῥῆμα χέω (χέFω, χεύω) (χύνω) διαφέρει τῶν προηγουμένων, Μέλλ. χέω· Μέσ. Μέλλ. χέομαι (ἴδε Ἀρ. 4), Ἀόρ. ἔχεα, Ὑποτ. χέω, Ἀπαρ. χέαι, Προστ. χέον, χεάτω Μέσ. Ἀόρ. ἐχεάμην (ἴδε Ἀρ. 7)· Παρακ. Ἐνεργ. κέχυκα· Παρακμ. Μέσ. ἢ Παθ. κέχυμαι, Ἀόρ. Παθ. ἐχύθην, Μέλλ. Παθ. χυθήσομαι. Ῥημ. Ἐπίθ. χυτός.

3. Μέλλοντα ἄνευ τοῦ χρονικοῦ χαρακτῆρος **σ** ἔχουσι τὰ ἑξῆς·

ἐσθίω (-ρώγω, ἔδ-ω Ἐπικ.), Μέλλ. ἔδ-ομαι·

πίν-ω (-τ), Μέλλ. πί-ομαι·

χέω (χύνω), (Μέλλ. χέω ἄνευ συναιρέσ. § 96, 1), χεῖς, χεῖ κλπ.· Μέλλ. Μέσ. χέομαι (ἴδε Σημ. α'.).

4. Τὸν εἰς **οῦμαι** ἄνευ τοῦ **σ** τύπον τοῦ μέλλοντος τῶν ὑγρολήκτων ῥημάτων λαμβάνουσι τὰ ἑξῆς δύο ἀφωνόληκτα ῥήματα·

μάχ-ομαι, Μέλλ. μαχοῦμαι (προελθ. ἐκ τοῦ Ἰων. μαχ-έ-σομαι)·

ἕζομαι (ἑδ) καὶ ζω, Μέλλ. (ἑδ-οῦμαι) καθεδοῦμαι.

5. Τὰ ἑξῆς ῥήματα ἔχουσι τὸν εἰς **σοῦμαι** (εἶ, εἶται κλπ.) **τύπον τοῦ μέλλοντος, ὅστις καλεῖται Μέλλων Δωρικός.**

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φεύγ-ω Μέλλ. φευξοῦμαι καὶ φεύξομαι
παίζ-ω » παιξοῦμαι » παίξομαι
κλαί-ω, πλέω, πνέω, νέω, θέω (ἴδε Ἀρ. 2), πίπτω § 122, 3.

6. Τετελεσμένον Μέλλ. ὑπὸ τύπον ἐνεργητικὸν λαμβάνουσι τὰ ἑξῆς δύο ῥήματα·

ἀποθνήσκω, Παρκ. τέθνηκα (εἶμαι ἀποθαμμένος), Μέλλ. Τετελ. τεθνήξω [καὶ -ξομαι] (θὰ εἶμαι ἀποθαμμένος)·

ἵστημι (σταίνω), Παρακμ. ἕστηκα (στέκω), Μέλλ. Τετελ. ἑστήξω [καὶ -ξομαι] (θὰ στέκω).

7. Τὰ ἑξῆς τρία ῥήματα, ἅτινα δὲν εἶνε ὑγρόληκτα, σχηματίζουσι τὸν Ἀόρ. ά. κατ' ἀναλογίαν τοῦ β'. Ἀορ. ἄνευ τοῦ χρονικοῦ χαρακτῆρος σ.

εἰπεῖν (Ἀόρ. β'.), Ἀόρ. ά. εἶπ-α· φέρω (ἐνεγκ), Ἀόρ. ἤνεγκα, (Ἀόρ. β'. ἤνεγκον)· χέω, ἔχεα (ἴδε Σημ. ά.).

Σημ. β'. Εἰς τὸν Ἀόρ. β'. ἔπεσον τοῦ ΠΕΤ-ω (πίπτ-ω) τὸ σ δὲν εἶνε χρονικὸς χαρακτήρ, ἀλλ' ἀνήκει εἰς τὴν ῥίζαν, καθόσον τὸ τ ἐξασθενισθὲν ἐνταῦθα ἐγένετο σ (Δωρ. ἔπετον).

8. Τὰ ἑξῆς ῥήματα ἔχουσιν ἰδιάζοντας τύπους τῆς Ὑποτακτ. καὶ τῆς Εὐκτ. τοῦ Μέσ. ἢ Παθ. Παρακμ.

κτάομαι (ἀποκτῶ), Παρακ. κέκτημαι (ἔχω, κατέχω), Ὑποτ. κεκτῶμαι, ᾖ, ᾖται, Εὐκτ. κεκτήμην, ᾖο, ᾖτο ἢ κεκτῷμην, ῷο, ῷτο, Ὑπερσ. ἐκεκτήμην (εἶχον)·

μιμνήσκω (ἐνθυμίζω), ἴδε § 121, 6·

καλέω (ὀνομάζω), Παρκ. κέκλημαι (ὀνομάζομαι), Εὐκτ. κεκλήμην, ᾖο, ᾖτο· Ὑπερσ. ἐκεκλήμην.

§ 116. *Συγκοπή.*

1. Ὀλίγα τινὰ ῥήματα πάσχουσιν εἴς τινας τύπους συγκοπήν, τουτέστιν ἐκβολὴν τοῦ ε εἰς τὸ μέσον τῆς λέξεως, μεταξὺ ἀφώνου καὶ ὑγροῦ ἢ μεταξὺ δύο ὑγρῶν, ἢ μεταξὺ τοῦ πτ. Ἐκ τοῦ πεζοῦ λόγου π. χ. ἀνήκουσιν ἐνταῦθα τὰ ἑξῆς·

πέτομαι (πετῶ), Ἀόρ. ἐπτόμην, πτέσθαι, Μέλλ. πτήσομαι· ἴδε § 124,22·

ἐγείρω (ἐξυπνίζω), Ἀόρ. Ἐνεργ. ἤγειρα, Παρκ. ά. ἐγήγερκα, § 88, (ἔχω ἐξυπνίσει), Παρκ. β'. ἐγρήγορα (εἶμαι ἄγρυπνος), Ὑπερσ. β'. ἐγρηγόρειν (ἤμην ἄγρυπνος), Μέσ. Ἀόρ. ἠγρόμην (Ἀπαρ. ἐγρέσθαι, ὅπερ ὑπό τινων κακῶς τονίζεται ἔγρεσθαι), ἠγέρθην (ἀφυπνίσθην)·

ἕπομαι (σεπ, Λατ. sequor), Ἀόρ. ἑσπόμην, σπέσθαι. Τὸ ἐνεργητικὸν εὗ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρηται μόνον εἰς τὰ σύνθετα, οἷον· ἐφέπω (ἀκολουθῶ), Ἀόρ. ἐπέσπον, ἐπισπεῖν· εἰς δὲ τὰ Μέσ. ἡ δασεῖα μεταβαίνει εἰς τὴν αὔξησιν, Ἀορ. ἐφεσπόμην, Ἀπαρ. ἐπισπέσθαι, Ὑποτ. ἐπίσπωμαι.

οἶμαι (νομίζω), ἀντὶ οἴομαι, ᾠμην ἀντὶ ᾠόμην· ἴδε § 125, 19. Ἐκτὸς τούτου πρβλ. ἔρχομαι (ἦλθον ἀντὶ ἤλυθον), § 125, 2· ἔχω, § 124, 10.

2. Συχνάκις συμβαίνει ἡ συγκοπὴ αὕτη εἰς τὸν ἀναδιπλασιασμόν· οὕτω π. χ.

ά.) Εἰς τὸν ἐνεστωτα.

γίγνομαι ἀντὶ γι-γένομαι, Ῥιζ. γεν, § 122, 2.

τίκτω (γεννῶ) ἀντὶ τι-τέκω, Ῥιζ. τεκ, § 122, 4.

πίπτω ἀντὶ πι-πέτω, Ῥιζ. πετ, § 122, 3.

β'.) Εἰς τὸν παρακείμενον.

πετάννῡμι (ἀνοίγω, ἁπλώνω), πέπτᾰμαι § 138, πίπτω, πέπτωκα (τοῦ πετ) § 122, 3.

Μετάθεσις.

3. Ἡ μετάθεσις, τουτέστιν ἡ μετατόπισις τοῦ φωνήεντος μετά τινος ὑγροῦ, συμβαίνει εἰς τόν σχηματισμὸν τῶν χρόνων πολλῶν ῥημάτων, πλειστάκις δὲ εἰς τὸν Παρακμ., Ὑπερσ., Παθ. Ἀόρ. ά. καὶ Παθ. Μέλλ. ά., σπανίως εἰς τὸν Ἐνεργ. Ἀόρ. β'., ἐνίοτε δὲ καὶ εἰς τὸν Ἐνεστ. Ἐν τῇ συνήθει γλώσσῃ πάσχουσι τὴν μετάθεσιν τὰ ἑξῆς ῥήματα·

βάλλω (ῥίπτω), Μέλλ. βᾰλῶ, Ἀόρ. ἔβαλον, Μέσ. (ῥίπτω δι' ἐμαυτόν), Ἀόρ. ἐβᾰλόμην· ἐβλήθην, Παρακ. βέβληκα, Παρακ. Μέσ. ἢ Παθ. βέβλημαι, Ἀόρ. Παθ. ἐβλήθην, Μέλλ. Παθ. βληθήσομαι, Μέλλ. Τετελ. βεβλήσομαι· Ῥημ. Ἐπίθ. βλητός, τέος.

ἀποθνήσκω, Ἀόρ. ἀπέθανον· Παρκ. τέθνηκα.

θρώσκω (ποιητ., πηδῶ), Ἀόρ. ἔθορον.

κάμνω (κουράζομαι), καμοῦμαι, Ἀόρ. ἔκαμον· Παρκ. κέκμηκα (ὅρα § 118, 8).

σκέλλω (ξηραίνω), σκέλλομαι (ξηρκίνομαι), Ἀόρ. β'. ἔσκλην (ἐξηράνθην), Παρκμ. ἔσκληκα (εἶμαι ξηραμμένος), Μέλλ. σκλήσομαι.

τέμνω (κόπτω), Ἀόρ. ἔτεμον, Παρκ. τέτμηκα, τέτμημαι, ἐτμήθην· ἴδε § 118, 9.

τλήσομαι (θὰ ὑποφέρω), Ἀόρ. ἔτλην, Παρακμ. τέτληκα ἐκ τῆς Ῥιζ. τλα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σημ. Ὅταν ἡ ῥίζα τοῦ ῥήματος εἶνε δισύλλαβος, τότε τὸ μετατιθέμενον φωνῆεν συναπτεται μετὰ τοῦ ἀκολουθοῦντος αὐτῷ εἰς ἕνα μικτὸν φθόγγον, καὶ λοιπόν·

ά.) Ἐν τῇ κλίσει τοῦ ῥήματος, π. χ. εἰς τά·

[πιπρᾱ́σκω] (πωλῶ) (ἀντὶ πιπεράσκω, πιπρεάσκω). Ἴδε § 121, 7.

δέμω (οἰκοδομῶ) (ὡς ἐπὶ τὸ πολὺ ποιητ. καὶ Ἰων.), Ἀόρ. Ἐνεργ. ἔδειμα, Ἀόρ. Μέσ. ἐδειμάμην· ΔΜΕ, Παρακ. δέδμηκα, Παρακ. Μέσ. ἢ Παθ. δέδμημαι.

καλέω, Μέλλ. καλῶ, Ἀόρ. ἐκάλεσα, Παρακ. κέκληκα, κέκλημαι, (§ 115, 8), (ὀνομάζομαι), Μέλλ. Τετελ. κεκλήσομαι (θὰ ὀνομασθῶ), ἐκλήθην. Ἴδε § 97, Σημ.

δαμάζω (καταδαμάζω), Μέλλ. δαμᾰ́σω, Ἀόρ. ἐδάμασα· ΔΜΑ, Παρακ. δέδμηκα, Παρακ. Μέσ. ἢ Παθ. δέδμημαι, Ἀόρ. Παθ. ἐδμήθην, ἐδάμην.

β΄.) Ἐν αὐτῇ τῇ ῥίζῃ εἰς τὸ ῥῆμα·

θρᾱ́ττω (προελθ. ἐκ τοῦ ταράττω, τραάττω), ἄλλον Ἀττικ. τύπον τοῦ ταράσσω, Ἀόρ. ἔθρᾰξα, θρᾰ́ξαι.

ΝΣΤ΄. Γύμνασμα.

Κατακαίω.
ἐκνέω, κολυμβῶ ἔξω.
ἐκπλέω, πλέω ἔξω.
περιῤῥέω, ῥέω πέριξ.
συγχέω, χύνω ὁμοῦ, συνταράττω, συγχύζω.
ἀναρπάζω, ἁρπάζω ἐπάνω, ἀφαρπάζω ταχέως.
ἡγέομαι, ὁδηγῶ· 2) νομίζω.
Ἀττική, ἡ.
Λυδία, ἡ.
Νεμέα, ἡ.
στρατιά, ἡ, στράτευμα.
στόλος, ὁ.
σφαῖρα, ἡ.
τιμωρία, ἡ.
ἄνεμος, ὁ.
κόλπος, ὁ.
Πελοποννήσιος, ὁ.
ὅπλον, τό.
ῥόπαλον, τό.
πίστις, εως, ἡ.
Σάρδεις, εων, αἱ.
ἐναντίος, ᾱ, ον.
Κρισαῖος, ᾱ, ον.
ἅμα, Ἐπίῤῥ., συγχρόνως.
αὔριον, Ἐπίῤῥ.
νῦν, Ἐπίῤῥ. τώρα.

Ἀρχαῖον Ἑλληνικόν.

Ἡ στρατιὰ αὔριον ἐκπλευσεῖται (ἐκπλεύσεται).—Ἄνεμος βορρᾶς ἐναντίος τῇ στρατιᾷ ἔπνευσεν.—Ἐν τῇ ναυμαχίᾳ τῇ ἐν τῷ Κρισαίῳ κόλπῳ οἱ Πελοποννήσιοι ἄνδρας τῶν Ἀθηναίων ἀπέκτειναν, ὅσοι μὴ ἐξένευσαν αὐτῶν.—Ὅταν οἱ πολέμιοι τῇ πόλει πλησιάσωσιν, οἱ στρατιῶται ἁρπάσαντες τὰ ὅπλα θεύσονται πρὸς τὰς πύλας.—Πολλοῖς καὶ σοφοῖς ἀνδράσι[1] κέκλαυσται τἀνθρώπινα, τιμωρίαν ἡγουμένοις εἶναι τὸν βίον.—Τίς οὐκ ἂν[2] κλαύσειε τὸν φίλον ἀτυχοῦντα;—Οἱ πολῖται ἤλπισαν τοὺς πολεμίους

[1] Δοτ. ἀντὶ ὑπὸ μετὰ Γεν. — [2] Ἴδε Συντακτ. καν. Γυμνάσμ. ΛΗ΄, Σελ. 103.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φευξεῖσθαι.—Οἱ παῖδες σφαῖραν παιζοῦνται.—Σωκράτης πολλάκις ἔπαισεν ἅμα σπουδάζων.—Συγκέχυκε νῦν τὴν πίστιν ὁ καθ' ἡμᾶς βίος[3].—Οἱ πολέμιοι τὰς τῶν Ἑλλήνων τάξεις συνέχεαν.—Οἱ νόμοι διὰ τὸν πόλεμον συγκεχυμένοι εἰσίν.—Οἱ πολέμιοι τὴν πόλιν κατέκαυσαν.—Αἱ ἐν Λυδίᾳ Σάρδεις ὑπὸ τῶν Ἑλλήνων κατεκαύθησαν.—Οἱ κεκμηκότες στρατιῶται ἀνεπαύσαντο.—Μὴ καμὼν οὐκ ἄν[2] εὐδαιμονοίης.—Ἀττικὴ ὑπὸ τῶν Περσῶν ἐτμήθη.—Ἡρακλῆς τὸ ῥόπαλον, ὃ ἔφερεν, αὐτὸς ἔτεμεν ἐν Νεμέᾳ.—Οὓς οἱ πολλοὶ πλουσίους λέγουσι, κέκτηνται κτήματα, ἃ καὶ κακός τις κεκτῆτ' ἄν.—Οἱ στρατιῶται πᾶσαν τὴν νύκτα ἐγρηγόρεσαν.

Ἀ π λ ο ῦ ν.

Ὁ στόλος ἔπλευσεν ἔξω.—Ὁ βόρειος ἄνεμος θὰ πνεύσῃ ἐναντίος εἰς τὸν στρατόν.—Οἱ στρατιῶται ἤλπισαν ὅτι θὰ κολυμβήσωσι διὰ τοῦ ποταμοῦ (Ἀπαρέμφ. Μέλλ.).—Οἱ στρατιῶται ἐνόμισαν ὅτι θὰ τρέξωσι πρὸς τὰς πύλας (Ἀπαρ. Μέλλ.).—Θὰ κλαύσητε τοὺς δυστυχεῖς.—Οἱ ἐχθροὶ θὰ φύγωσι.—Τὰ παιδία ἔπαιξαν τὴν σφαῖραν.—Ἂν συναναστρέφησαι παιδία (Μετοχ.), θὰ παίζῃς.—Οἱ ἐχθροὶ θὰ συνταράξωσι τὰς τάξεις τῶν στρατιωτῶν.—Χύσε, ὦ παιδίον, τὸ ὕδωρ εἰς τὴν γῆν.—Ἡ πόλις ἔχει κατακαῆ ὑπὸ τῶν ἐχθρῶν.—Οἱ πολῖται ἐνόμιζον ὅτι οἱ ἐχθροὶ θὰ κατακαύσωσι τὴν πόλιν.—Οἱ ἐχθροὶ ἔχουσιν ἐρημώσῃ τὴν χώραν.—Ἡ χώρα ἔχει καταστραφῆ ὑπὸ τῶν ἐχθρῶν.—Οἱ ἐχθροὶ θὰ καταστρέψωσι τὴν χώραν.—Ἂν ἐργάζησθε, θὰ γείνητε εὐτυχεῖς.—Οἱ καλοὶ θὰ εἶνε εὐτυχεῖς, καὶ ἂν δὲν (μὴ) ἔχωσι πλοῦτον.—Πῶς ἤθελεν ὀνομασθῆ ὁ πλούσιος εὐτυχὴς (Εὐκτ. μετὰ τοῦ ἄ ν), ἂν δὲν (μὴ) ἔχῃ ἀρετήν;—Ὅταν τὸ σῶμα κοιμᾶται (Γεν. Ἀπόλ.), ἡ ψυχὴ ἀγρυπνεῖ.

§ 117. *Ῥήματα εἰς* ω *μετ' ἐπιτεταμένης τῆς ῥίζης τοῦ ἐνεστῶτος.*

Εἴδομεν ἤδη ἐν §§ 99, 100 καὶ 110, ὅτι ἡ ῥίζα τοῦ ἐνεστῶτος πολλῶν ῥημάτων ἐπιτείνεται, ἡ δὲ ἐπίτασις αὕτη παραμένει μόνον εἰς τὸν ἐνεστῶτα καὶ παρατατικόν. Ἀλλ' ὅμως πλὴν τῶν ἐκεῖ μνημονευθεισῶν ἐπιτάσεων διὰ συμφώνου καὶ ἐκτάσεως τοῦ ῥιζικοῦ φωνήεντος, ὑπάρχουσι καὶ ἄλλαι, τὰς ὁποίας θέλομεν ἀναφέρῃ εἰς τοὺς ἑφεξῆς καταλόγους.

Σημ. Πάντες οἱ πρὸς σχηματισμὸν τῶν ῥημάτων προϋποτιθέμενοι τύποι προτίθενται ἄνευ τόνων.—Τὸ ἐν παρενθέσει εὑρισκόμενον μι σημαίνει ὅτι ὁ ὑπάρχων τύπος κλίνεται περαιτέρω κατὰ τὴν συζυγίαν τῶν εἰς μι· ἴδε § 141.—Περὶ τῶν ἀποθετικῶν, τῶν ῥημάτων δηλ. ἐκείνων, ὧν τὸ ἐνεργητικὸν εἶνε ἄχρηστον, οἷον χρῶμαι, ἴδε τὸ Συντ.

[3] Ὁ καθ' ἡμᾶς βίος, ἡ ἐποχὴ ἡμῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 118. Α'. Ῥήματα, τῶν ὁποίων ἡ ἁπλῆ ῥίζα ἐπιτείνεται εἰς τὸν Ἐνεστ. καὶ Παρατ. προστιθεμένου πρὸ τῆς καταλήξεως ν.

Προσημείωσις. Τὸ βαίνω ἐξέτεινε τὸ ῥιζικὸν φωνῆεν α εἰς αι, τὸ ἐλαύνω τὸ α εἰς αυ· τὰ δὲ δύνω καὶ πίνω τὰ ῡ καὶ ῑ εἰς ῡ καὶ ῑ.

1. βαί-ν-ω, βήσομαι· ἔβην (μι § 141)· βέβηκα, (πηγαίνω). Ῥίζα βα, τὸ Παθ. ἐν τοῖς συνθέτοις, οἷον· ἀνεβέβαμαι, ἀνεβάθην καὶ παρεβάθην. Ῥημ. Ἐπίθ. βατός, ἄβατος.

2. ἐλαύ-νω, [ἐλᾰ́σω], συνήθ. Ἀττ. ἐλῶ (§ 82)· ἤλᾰσα· ἐλήλᾰκα (§ 88, ὠθῶ)· Μέσ. (ὠθῶ ἀπ' ἐμαυτοῦ), ἠλασάμην· ἐλήλᾰμαι, Ἀπαρ. ἐληλάσθαι· Ἀόρ. Παθ. ἠλᾰ́θην.

3. φθᾰ́ν-ω, φθήσομαι, σπανιώτερον φθᾰ́σω, ἔφθᾰσα καὶ (ἐν τῷ πεζ. λογ. σπανιώτερον) ἔφθην § 141 (μι) Πρκ. ἔφθακα, (φθάνω, προλαμβάνω).

4. πί-νω, Μέλλ. πί-ομαι (§ 115, 3), Ἀόρ. ἔπιον, πιεῖν, πιών, πῖθι καὶ πίε, ἔκπῖθι § 141· (μι)· (πο)· Παρκ. πέπωκα. Παθ. Πρκ. πέπομαι. Ἀόρ. Παθ. ἐπόθην· Μέλλ. Παθ. ποθήσομαι. Ῥημ. ποτός, ἄποτος.

5. τί-ν-ω, τί-σω· ἔτῑσα (τῖσαι), τέτῑκα (πληρώνω). Μέσ. τί-νομαι (ἐκδικοῦμαι), τίσομαι, ἐτῑσάμην, Παθ. Πρκμ. τέτῑσμαι (τετῖσθαι), ἐτίσθην. Πάντοτε σύνθετ. ἐκτίνω, ἀποτίνω κλπ. Ῥημ. ἐκτιστέον.

6. φθί-ν-ω (ποιητ., σπαν. παρὰ πεζογρ.), τήκομαι, μαραίνομαι, φθί-σω, ἔφθῑσα, Μεταβατ. κατατρώγω, μαραίνω. Ἀμετάβατ. φθίσομαι· ἔφθῐμαι, ἔφθινται· Ὑπερσ. καὶ Ἀόρ. β'. ἐφθί-μην, Ὑποτ. φθίωμαι, Εὐκτ. φθί-μην, φθῖτο, Προστ. φθίσθω, Ἀπαρμ. φθίσθαι, Μετοχ. φθίμενος (μι). Ῥημ. Ἐπίθ. φθῑτός.

Ἐνταῦθα ἀνήκουσι τρία ῥήματα, τῶν ὁποίων ἡ ἁπλῆ ῥίζα λήγει εἰς σύμφωνον·

7. δάκ-ν-ω, δήξομαι· ἔδᾰκον· [δέδηχα] (δαγκάνω). Παθ. Πρκμ. δέδηγμαι· Ἀόρ. Παθ. ἐδήχθην· Μέλλ. Παθ. δηχθήσομαι.

8. κάμν-ω, καμοῦμαι· ἔκᾰμον· κέκμηκα, § 116, (κουράζομαι).

9. τέμ-ν-ω, τεμῶ· ἔτεμον (Ἰων. ἔτᾰμον)· τέτμηκα, § 116, 3, (κόπτω). Μέσ. κόπτω δι' ἐμαυτόν (τι), ἐτεμόμην· τέτμημαι· ἐτμήθην· [τετμήσομαι]· τμηθήσομαι.

§ 119. Β'. Ῥήματα, τῶν ὁποίων ἡ ἁπλῆ ῥίζα ἐπιτείνεται εἰς τὸν Ἐνεστ. καὶ Παρατ., προστιθεμένης πρὸ τῆς καταλήξεως τῆς συλλαβῆς νε.

1. βῡ-νέ-ω, βῡ́σω· ἔβῡσα, (βῦσαι), (στουμπώνω). Παρκ. Παθ. βέβῡσμαι· Ἀόρ. Παθ. ἐ-βῡ́-σθην.

2. ἱκ-νέ-ομαι, συνήθως ἀφικνέομαι, ἀφῑ́ξομαι· ἀφῑκόμην, ἀφῖγμαι· Παρκ. ἀφῖγμαι, ἀφῖχθαι (φθάνω).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

3. κυ-νέ-ω, κύ'σω· ἔκυσα, § 94, (φιλῶ). Ἀλλὰ προσκυνέω, προσκυνήσω· προσεκύνησα (προσκυνῶ).

4. ὑπισχ-νέ-ομαι· ὑποσχήσομαι· ὑπεσχόμην (Προστ. ὑπόσχου)· ὑπέσχημαι (ὑπόσχομαι). Οὕτω καὶ ἀμπισχνοῦμαι ἢ ἀμπέχομαι, ἀμφέξομαι, ἠμπισχόμην καὶ ἠμπεσχόμην, § 90, 3, (φορῶ, ἐνδύομαι), (ἐκ τοῦ ἀμπέχω, ἀμφέξω, ἤμπισχον, Ἀπαρ. ἀμπισχεῖν) (περικαλύπτω).

ΝΖ'. Γύμνασμα.

Ἐκβαίνω, βγαίνω, ἐξέρχομαι.
συμβαίνω, συμβαδίζω, συμβιβάζομαι.
συμβαίνει, ὡς καὶ παρ' ἡμῖν, γίνεται.
ἀπελαύνω, ἀπομακρύνω.
ἐξελαύνω, ὠθῶ ἔξω, ἐκβάλλω.
ἐκπί'νω, πίνω ἐντελῶς.
συμπί'νω, πίνω μετά τινος.
μεθύω, πίνω μέθυ, οἶνον ἄκρατον· ὄθεν μεθῶ.
ἀποτίνω, πληρώνω, ὑπέχω δίκην· Μέσ. τιμωρῶ, ἐκδικοῦμαι.
ἐφικνέομαι, μετὰ Γεν., φθάνω εἴς τι, ἐπιτυγχάνω.
Σπάρτη, ἡ.
εὐδαιμονέω, εἶμαι εὐτυχής.
πολυτέλεια, ἡ.
Λυκοῦργος, ὁ.
τάλαρος, ὁ, καλάθιον.
ἱμάτιον, τό, φόρεμα.
ἄκρος, ᾱ, ον, ὑψηλότατος· τὸ ἄκρον, τὸ ὑψηλότατον, ἡ κορυφή.
νῆμα, τό, γνέμα.
γέ (ἐγκλιτ.), μόριον ἐπιτατικόν.
οὔτοι, βεβαίως ὄχι.

Ἀρχαῖον Ἑλληνικόν.

Τοῖς στρατιώταις ἐν τῇ στρατιᾷ πολλὰ κακὰ συνεβεβήκει.—Σοφοὶς ὁμιλῶν καὶ αὐτὸς ἐκβήσει σοφός.—Λυκοῦργος πολυτέλειαν ἐξήλασε τῆς Σπάρτης.—Περσῶν οὐδεὶς ἀπελήλαται νόμῳ τιμῶν καὶ ἀρχῶν.—Πολλοὶ συμπιόντες ἅπαξ γίγνονται φίλοι.—Ὁ ἄγαν πεπωκὼς μεμέθυσται.—Οὐκ ἐκπίομαι τὸν οἶνον.—Ὁ οἶνος ὑπὸ τῶν στρατιωτῶν ἐξεπόθη.—Τοὺς κακούργους οἱ θεοὶ ἀποτίσαιντο.—Οἱ πολῖται τοὺς πολεμίους ἔφθασαν* εἰς τὴν πόλιν φυγόντες.—Κύων δήξεται τὸν δακόντα.—Ὁ λαγὼς ὑπὸ τοῦ κυνὸς ἐδήχθη.—Ὁ τάλαρος νήματος βέβυσται.—Οἱ πρέσβεις εἰς τὴν πόλιν ἀφίκοντο.—Οὗτοι γ' ἐφίξει τῶν ἄκρων ἄνευ πόνου.—Ὁ φίλος ὑπέσχετό μοι ἀφίξεσθαι.—Αἱ γυναῖκες ἠμπέσχοντο καλὰ ἱμάτια.

---

* Τὸ φθάνω, προφθάνω, προλαμβάνω, συντάσεται μετ' Αἰτιατικ. τοῦ προσώπου, τὸ ὁποῖον προλαμβάνει τις, καὶ μετὰ μετοχῆς τοῦ ῥήματος, τοῦ σημαίνοντος τὴν ἐνέργειαν, ἐν ᾗ προλαμβάνει τίς τινα. Καὶ τὸ μὲν φθάνω ἐξηγεῖται διὰ τῆς πρό, ἡ δὲ μετοχὴ γίνεται ῥῆμα, π. χ. ἐδῶ, οἱ πολῖται ἔφυγον εἰς τὴν πόλιν πρὸ τῶν πολεμίων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οἱ ἐχθροὶ θὰ εἰσέλθωσιν εἰς τὴν χώραν ἡμῶν.—Οἱ ἐχθροὶ ἐξεδιώχθησαν ὑπὸ τῶν πολιτῶν ἐκ τῆς πόλεως.—Οὐδένα πολίτην θὰ ἀπομακρύνῃ νόμος ἐκ τῶν τιμῶν καὶ ἀξιωμάτων.—Ὁ Λυκοῦργος εἶχεν ἐκβάλῃ ἐκ τῆς Σπάρτης τὴν πολυτέλειαν.—Ὁ οἶνος ἔχει ποθῇ ἐντελῶς ὑπὸ τῶν στρατιωτῶν.—Οἱ νόμοι θὰ τιμωρήσωσι τοὺς κακούργους.—Οἱ πολῖται θὰ σύγωσιν εἰς τὴν πόλιν πρὸ τῶν πολεμίων.—Ὁ σκύλος ἔχει δαγκάσῃ τὸν λαγών.—Ὁ λαγὸς εἶνε δαγκαμένος ἀπὸ τὸν σκύλον.—Ἡ γυνὴ ἐγέμισε τὸ καλάθιον γνέμα (Γεν.).—Ὁ πατὴρ εἶνε φθασμένος.—Ὁ φίλος θὰ μοῦ ὑποσχεθῇ νὰ ἔλθῃ (Μέλλ.) αὔριον πρὸς ἐμέ.—Τὸ παιδίον ἔχει ὑποσχεθῇ εἰς τὸν διδάσκαλον νὰ μανθάνῃ ἐπιμελῶς.—Αἱ γυναῖκες θὰ ἐνδυθῶσιν ὡραῖα ἐνδύματα.

Γ'. Ῥήματα, τῶν ὁποίων ἡ ἁπλῆ ῥίζα ἐπιτείνεται εἰς τὸν Ἐνεστ. καὶ Παρατ., προστιθεμένης πρὸ τῆς καταλήξεως τῆς συλλαβῆς ἄν, σπανιώτερον δὲ τῆς αεν.

§ 120. ά.) Τὸ ᾰν ἢ αιν προστίθεται ἄνευ ἄλλης μεταβολῆς.

Προσημείωσις. Πάντα τὰ ῥήματα τοῦ εἴδους τούτου σχηματίζουσι τοὺς χρόνους αὐτῶν ἐκ τριπλῆς ῥίζης, δηλονότι τὸν Ἐνεστ. καὶ Παρατ. ἐκ τῆς ἐπιτεταμένης, τὸν Β'. Ἀόρ. ἐκ τῆς ἁπλῆς, τὸν δὲ Μέλλ. καὶ Παρκμ. ἐκ τρίτης τινὸς ῥίζης, συγκειμένης ἐκ τῆς ἁπλῆς καὶ τινος προστιθεμένου ε, ὅπερ ὅμως τρέπεται εἰς η κατὰ τὴν κλίσιν τῶν χρόνων. Τὸ δὲ α εἰς τὴν κατάληξιν ἄνω εἶνε βραχύ.

1. αἰσθ-ᾰ́νομαι, αἰσθ-ή-σομαι· ᾐσθόμην (αἰσθέσθαι)· ᾔσθημαι. Ῥημ. αἰσθητός.

2. ἁμαρτ-ᾰ́νω, ἁμαρτ-ήσομαι· ἥμαρτον· ἡμάρτηκα (ἀποτυγχάνω, πταίω). Πρκ. Παθ. ἡμάρτηται· Ἀόρ. Παθ. ἡμαρτ-ή-θη.

Σημ. Τὸ Παθ. εἶνε εὔχρηστον εἰς τὸ γ'. Πρόσ.

3. ἀπεχθᾰ́-νομαι, ἀπεχθή-σομαι· ἀπηχθ-όμην· ἀπήχθημαι (καθίσταμαι μισητός).

4. αὐξ-ᾰ́ν-ω, αὐξ-ή-σω· ηὔξ-η-σα· ηὔξηκα· Μέσ. ἢ Παθ. αὐξάνομαι, ηὔξημαι· αὐξήσομαι καὶ αὐξηθήσομαι· ηὐξήθην.

5. βλαστ-ᾰ́ν-ω, βλαστ-ή-σω· ἔ-βλαστ-ον· ἐβλάστ-η-κα καὶ βε-βλάστ-η-κα (§ 87, Σημ. ά.).

6. δαρθ-ᾰ́ν-ω συνήθως καταδαρθ-ᾰ́ν-ω, καταδαρθ-ήσομαι· κατέδαρθον· καταδεδάρθηκα (κοιμῶμαι).

7. ὀλισθ-ᾰ́ν-ω, ὀλισθ-ή-σω· ὤλισθ-ον· ὠλίσθ-η-κα (γλιστρῶ).

8. ὀσφρ-αί-ν-ομαι, ὀσφρ-ήσομαι· ὠσφρόμην.

9. ὀφλ-ισκ-ᾰ́ν-ω, ὀφλ-ή-σω· ὤφλ-ον· ὤφλ-η-κα (χρεωστῶ, ὀφείλω). Πρκ. Παθ. ὤφλημαι· ἀξιοπαρατήρητος εἶνε ἡ διπλῆ ἐπίτασις ισκ καὶ αν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

β΄.) Ὅταν ἡ τελευταία συλλαβὴ τῆς ῥίζης εἶνε βραχεῖα, προστίθεται αν, παρεμβαλλομένου τοῦ ρινοφώνου ν πρὸ τοῦ συμφώνου τοῦ ὄντος χαρακτῆρος τῆς ἁπλῆς ῥίζης.

Προσημείωσις. Τὸ βραχὺ φωνῆεν τῆς ἁπλῆς ῥίζης τρέπεται εἰς μακρὸν κατὰ πάντας τοὺς χρόνους, πλὴν τοῦ β΄. ἀορίστου· ἐξαιρεῖται μόνον τὸ μανθάνω καὶ αἱ Παρκμ. τοῦ τυγχάνω καὶ πυνθάνομαι. Τὸ ν δὲ τοῦτο πρὸ τῶν χειλεοφώνων καὶ οὐρανισκοφώνων πάσχει τὰς συνήθεις μεταβολάς (§ 7, 5).

10. θιγγ-ἄ΄ν-ω, θίξομαι· ἔθιγ-ον (ἐγγίζω).

11. λαγχ-ἄ΄ν-ω, λήξομαι· ἔλαχον· εἴληχα (λαμβάνω διὰ κλήρου). Παρκ. Παθ. εἴληγμαι (§ 87, 3)· Ἀόρ. Παθ. ἐλήχθην.

12. λαμβ-ἄ΄ν-ω, λήψομαι· ἔλαβον· εἴληφα. Προστ. λαβέ, § 83, 3, ά., εἴλημμαι (§ 87, 3)· ἐλαβόμην· ἐλήφθην· ληφθήσομαι.

13. λανθ ἄ΄ν-ω, λήσω· ἔλαθον· λέληθα (κάμνω τι χωρὶς νὰ μ' ἐννοήσουν). Μέσ. ἐπιλανθάνομαι (λησμονῶ), ἐπιλήσομαι· ἐπιλέλησμαι (§ 94)· ἐπελαθόμην· λελήσομαι, Εὐριπ.

14. μανθ-ἄ΄ν-ω, μαθ-ήσομαι· ἔμαθον· μεμάθηκα (ἐννοῶ, μανθάνω).

15. πυνθ-ἄ΄ν-ομαι, πεύσομαι· ἐπυθόμην· πέπυσμαι (πέπυσαι, Ἀπαρ. πεπύσθαι, § 94) (πληροφοροῦμαι).

16. τυγχ-ἄ΄ν-ω (μετὰ Γεν.), τεύξομαι· ἔτυχον· τετύχηκα, τέτευχα μεταγν., ἐπιτυγχάνω, λαμβάνω. Μετὰ Μετ. συντασσόμ. εἶνε οἱονεὶ περίφρασις τοῦ ῥήματος, οἷον· τυγχάνω γράφων=γράφω.

ΝΗ΄. Γύμνασμα.

Ἐξαμαρτάνω, ἐπιτεταμέν. τὸ ἁμαρτάνω (§ 120, 2).
καταδαρθάνω, κοιμῶμαι.
ἀναστρέφω, στρέφω ἐπάνω (μεταβ. καὶ ἀμετ.).
ἄγε (Προστ. τοῦ ἄγω), ἔλα!
ἐλπίζω, ὡς καὶ παρ' ἡμῖν.
δοκέω, νομίζω· 2) φαίνομαι.
ἐπαρκέω, μετὰ Δοτικ., βοηθῶ.
ἐπιορκέω, ὁρκίζομαι ψευδῶς, μετ' Αἰτ.
ἀγγελλία, ἡ, εἴδησις.
ἐπιβουλή, ἡ.
εὐεργεσία, ἡ.
συμφορά, ἡ, συμβάν, περιπέτεια, δυστυχία.
κάμηλος, ὁ, ἡ.
χρυσίον, τό, ὑποκοριστ. τοῦ χρυσός, νόμισμα χρυσοῦν.
ἄνθος, τό.
βούλευμα, τό, σκέψις, ἀπόφασις.
γῆ, ἡ.
γενναῖος, ᾱ, ον, ἐκ καλοῦ γένους, εὐγενής, χρηστός.
ἴδιος, α, ον, ἰδιάζων.
ὀδυνηρός, ά, όν, προξενῶν πόνον.
βραχύς, εῖα, ύ, σύντομος, ὀλίγος.
προσήκων, ήκουσα, ῆκον, (Γεν. ήκοντος), ἁρμόζων.
δεῦρο, Ἐπιῤῥ. ἐδῶ.
ὀπίσω, Ἐπιῤῥ.
πω, Ἐπιῤῥ., οὔπω, ὄχι ἀκόμη, οὐδείς πω, κανεὶς ἀκόμη.
ὡς, Ἐπιῤῥ. καθώς· ὡς τάχιστα, ὅσον τάχιστα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Λήσειν διὰ τέλους[1] μὴ δοκεῖτω ὁ πονηρός.—Κέρδος πονηρὸν μὴ λαβεῖν βούλου ποτέ.—Δίκαια ποιήσας συμμάχου τεύξει[2] θεοῦ.—Γράμματα μαθεῖν δεῖ καὶ μαθόντα νοῦν ἔχειν.—Λαβὲ πρόνοιαν τοῦ προσήκοντος βίου.—Ξένοις ἐπαρκῶν τῶν ἴσων τεύξει ποτέ.—Ὁ βασιλεὺς τῆς πρὸς ἑαυτὸν ἐπιβουλῆς οὐκ ᾔσθετο.—Οἱ Πέρσαι τοῖς Ἕλλησιν ἀπήχθοντο.—Φίλιππος αὐτὸς ἀπεφαίνετο διὰ χρυσίου μᾶλλον, ἢ διὰ τῶν ὅπλων ηὔξηκέναι τὴν ἰδίαν βασιλείαν.—Οἱ στρατιῶται βραχὺν χρόνον κατέδαρθον.—Ὡς ὤσφροντο[2] τάχιστα τῶν καμήλων οἱ ἵπποι, ὀπίσω ἀνέκαμπτον.—Μὴ θίγῃς[2] τοῦ κυνός.—Ἄγε δεῦρο, ἵνα πύθῃ[3] τῆς ὀδυνηρᾶς ἀγγελίας.—Θεὸν ἐπιορκῶν μὴ δόκει λελῆθέναι.—Ἀρχῆς τετυχηκὼς ἴσθι ταύτης ἄξιος.—Καλόν, μηδὲν εἰς φίλους ἁμαρτεῖν.—Μακάριος, ὅστις ἔτυχε γενναίου φίλου.—Μάθε φέρειν τὴν συμφοράν.—Οὐδείς πω ξένον ἐξαπατήσας ἀθανάτους ἔλαθεν[3].—Ἀπ' ἀγαθῶν ἀγαθὰ μαθήσῃ.—Καὶ κακὸς πολλάκις τιμῆς καὶ δόξης ἔλαχεν[2].—Παρὰ τῶν θεῶν πολλὰ παρειλήφαμεν δῶρα.—Οὐ λέληθεν, ὅστις ἄδικα ἔργα πράττει.—Εἰ θεὸν ἀνήρ τις ἐλπίζει λήσειν ἁμαρτάνει.—Δὶς ἐξαμαρτεῖν ταὐτὸν[4] οὐκ ἀνδρὸς σοφοῦ.—Ἐξ ἀγαθῆς γῆς ἔβλαστε[2] καλὰ ἄνθη, ἐκ δ' ὀρθῶν φρενῶν βουλεύματ' ἀγαθά.—Τῆς εὐεργεσίας οὔ ποτε ἐπιλήσομαι.

Ἁπλοῦν.

Ὁ βασιλεὺς δὲν θὰ αἰσθανθῇ τὰς καθ' ἑαυτοῦ ἐπιβουλάς (Γεν.).—Ὅταν πίνῃς (Μετοχ.), μὴ φλυαρῇς πολὺ (Πληθ.), διότι θὰ πταίσῃς.—Ποῖος (τίς) ἄνθρωπος δὲν ἔπταισε μίαν φοράν;—Ὁ κακὸς καθίσταται μισητὸς εἰς τὸν καλόν.—Ὁ Φίλιππος ηὔξησε τὴν βασιλείαν του περισσότερον μὲ τὸ χρυσίον, ἢ μὲ τὰ ὅπλα.—Ἐξ ὀρθοῦ νοῦ θὰ βλαστήσωσι πάντοτε καλαὶ ἀποφάσεις.—Ὀλίγον μόνον καιρὸν θὰ κοιμηθῶ.—Δὲν θὰ ἐγγίσω τὸν σκύλον (Γεν.).—Ὁ Περικλῆς ἔλαβε μεγάλην δόξαν.—Οἱ κακοὶ οὐδέποτε θὰ ἐπιτύχωσιν ἀληθῆ δόξαν.—(Τὴν) ἀρετὴν ἀσκοῦντες θὰ ἔχωμεν τὸν ἁρμόζοντα βίον.—Ἡ πόλις ἐκυριεύθη ὑπὸ τῶν ἐχθρῶν.—Ὁ ἀχάριστος ἔχει λησμονήσῃ τὴν εὐεργεσίαν.—Τὸ παιδίον ἔχει μάθῃ καλῶς τὰ γράμματα.—Ἔχεις μάθῃ τὴν θλιβερὰν ἀγγελίαν.

§ 121. Δ'. Ῥήματα, τῶν ὁποίων ἡ ἁπλῆ ῥίζα ἐπιτείνεται εἰς τὸν Ἐνεστ. καὶ Παρτ., προστιθεμένων τῶν δύο συμφώνων **σκ** *ἢ τῆς συλλαβῆς* **ισκ.**

Σκ προστίθεται, ὅταν ὁ χαρακτὴρ τῆς ῥίζης εἶνε φωνῆεν, καὶ

---

[1] Διὰ τέλους, μέχρι τέλους.—[2] Μετὰ Γεν.—[3] Μετ' Αἰτ.—[4] § 59, Σ. γ'.—[5] Ἀττ. σύντ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εσκ ὅταν εἶνε σύμφωνον (ἐκτὸς τοῦ πάσχω καὶ χάσκω). Τὰ πλεῖστα δὲ τῶν ῥημάτων, τῶν ὁποίων ἡ ἁπλῆ ῥίζα λήγει εἰς σύμφωνον, σχηματίζουσι τὸν μέλλοντα κτλ. κατ' ἀναλογίαν τῶν φωνηεντολήκτων ῥημάτων, οἷον· εὑρ-ίσκω, Μέλ. εὑρήσω τῆς ῥίζ. εὑρε-. Πλὴν τούτου ὅμως τινὰ τῶν ῥημάτων τούτων λαμβάνουσιν εἰς τὸν Ἐνεστ. καὶ Παρτ. ἀναδιπλασιασμόν, ὅστις εἶνε ἐπανάληψις τοῦ πρώτου συμφώνου τῆς ῥίζης μετὰ τοῦ φωνήεντος ε. Πολλὰ δὲ τῶν ῥημάτων τούτων ἀντιστοιχοῦσι πρὸς τὰ ἐναρκτικὰ τῆς Λατινικῆς γλώσσης, τὰ λήγοντα εἰς sco· γιγνώσκω, ἡβάσκω, γηράσκω.

1. γηρά-σκ-ω καὶ γηράω, γηράσομαι· ἐγήρασα· γεγήρακα (γερνῶ). Ὑπάρχει καὶ Ἐνεστ. Ἀπαρ. γηράναι ὡς ἐκ τοῦ ἀχρήστου γήρημι κατὰ τὸ ἵστημι-ἱστάναι, ὅπερ δὲν εἶνε τύπος Ἀορ., ὡς συνήθως νομίζεται.

2. διδρά-σκ-ω (δρα-) (μόνον ἐν συνθέσει, οἷον· ἀποδ., ἐκδ., διαδ.), δρᾶσομαι· ἔδρᾱν (μι, § 141)· δέδρᾱκα (δραπετεύω). Ῥημ. ἀναπόδραστος.

3. ἡβάσκω καὶ ἡβάω, ἡβήσω· ἥβησα. ἧβηκα (γίνομαι, εἶμαι ἔφηβος, νέος).

4. θνήσκω, μόνον ἐν συνθ. ἀπο καὶ ἐκθνήσκω, (θνα), ἀποθανοῦμαι· ἀπέθᾰνον (θαν)· τέθνηκα (ὄχι ἀποτέθνηκα). Μετάθεσις, § 116· θανών, οἱ θανόντες (οἱ ἀποθαμμένοι) καὶ εἰς τὸν πεζ. λόγ.· τεθνήξω, § 115, 6.

5. ἱλάσκομαι, ἱλᾰσομαι· ἱλάσᾰμην (ἐξιλεώνω). Παθητ. Ἀόρ. ἱλάσθην (ἐξιλεώθην).

6. μιμνήσκω, (μνα) μνήσω· ἔμνησα, (ἐνθυμίζω). Μέσ., ἐνθυμοῦμαι, κάμνω μνείαν· μέμνημαι (ἐνθυμοῦμαι), (Ἀναδιπλ., § 87, Σημ. 6'.), Ὑποτ. μεμνῶμαι, ῇ, ῆται (§ 115, 8), Εὐκτ. μεμνώμην, ῷο, ῷτο (§ 115, 8), Προστ. μέμνησο· Ὑπερσ. ἐμεμνήμην (ἐνθυμούμην), Μέλλ. Τετελ. μεμνήσομαι (θὰ ἐνθυμηθῶ, θὰ κάμω μνείαν), Ἀόρ. ἐμνήσθην (ἐνθυμήθην), Μέλλ. μνησθήσομαι (θὰ ἐνθυμηθῶ), (ἔτι δὲ ἀπομνήσομαι).

7. [πιπράσκω] πέπρᾱκα, § 116, Σημ., (πωλῶ), (ὁ Ἐνεστ. πωλῶ καὶ ἀποδίδομαι· ὁ δὲ Μέλλ. καὶ Ἀόρ. εἰς τὴν συνήθη γλῶσσαν ἐκφέρονται διὰ τῶν ἀποδώσομαι, ἀπεδόμην). Παρκμ. Μέσ. ἢ Παθητ. πέπρᾱμαι (Ἀπαρ. πεπρᾶσθαι, συχνὰ ἀντὶ τοῦ Ἀορ.)· Ἀόρ. ἐπρᾰ'θην· Μέλλ. Τετελ. πεπρᾰ'σομαι, εἰς τὴν σημασίαν τοῦ ἁπλοῦ Μέλλ. (πραθήσομαι).

8. φάσκω, (λέγω, νομίζω, ἰσχυρίζομαι). Μόνον ὁ Παρατ. ἔφασκον· Ὑποτ. φάσκω, Εὐκτ. φάσκοιμι, Ἀπαρ. φάσκειν καὶ Μετοχ. φάσκων. Ὁ δ' Ἐνεστ. τῆς Ὁρ. καὶ οἱ λοιποὶ χρόνοι ἐκ τοῦ φημί.

9. χάσκω (χαν), ἔχᾰνον· χᾰνοῦμαι· κέχηνα (στέκω μὲ ἀνοικτὸ τὸ στόμα, χάσκω).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

10. ἀρέσκω (ἀρε) ἀρέσω· ἤρεσα. Μέσ. ἀρέσκομαι, Μέλλ. ἀρέσμαι, Ἀόρ. ἠρεσάμην. Ῥημ. ἀρεστός.

11. ἀναβιώ-σκομαι, ἀ.) ἀναζῶ, ἀνασταίνομαι, Β΄.) ἀνασταίνω, (βιο) Ἀόρ. ἀνεβιωσάμην (ἀνεστησά τινα), Ἀόρ. Β΄. ἀνεβίων (μι, § 139), (ἀνεστήθηκα, ἀνέζησα).

12. βιβρώσκω, (βρο-) βέβρωκα (τρώγω)· Μετοχ. ποιητ. βεβρώς, Πρκμ. Μέσ. ἢ Παθητ. βέβρωμαι· οἱ ἐλλείποντες τύποι ἀναπληροῦνται ὑπὸ τῶν χρόνων τοῦ ἐσθίω. Ῥημ. βρωτός.

13. γιγνώσκω, (γνο-) γνώσομαι· ἔγνωκα· ἔγνων (μι, § 139)· γνωρίζω, εἰξεύρω). Παρακμ. Μέσ. ἢ Παθ. ἔγνωσμαι· Ἀόρ. Παθ. ἐγνώσθην· Μέλλ. Παθ. γνωσθήσομαι. Ῥημ. γνωστός.

14. τιτρώσκω, (τρο) τρώσω· ἔτρωσα, τέτρωκα (πληγώνω). Πρκ. Μέσ. ἢ Παθ. τέτρωμαι, τετρῶσθαι, τετρωμένος· Ἀόρ. ἐτρώθην· Μέλλ. Παθ. τρωσθήσομαι. Ῥημ. τρωτός, ἄτρωτος.

15. μεθύσκω, μεθύ΄σω· Ἀόρ. ἐμέθυσα (μεθῶ τινα)· Ἀόρ. Παθ. ἐμεθύσθην (ἐμέθυσα).

16. ἁλ-ίσκ-ομαι (αἰχμαλωτίζομαι, κυριεύομαι), χρησιμεύει ὡς Παθ. τοῦ αἱρέω, ὅταν σημαίνῃ κυριεύω· (ἁλο-) Μέλλ. ἁλώσομαι· Ἀόρ. Β΄. ἑά΄λων καὶ ἥλων (μι, § 141), (ἠχμαλωτίσθην)· Παρκ. ἑά΄λωκα καὶ ἥλωκα (ἔχω αἰχμαλωτισθῆ). Αὔξ. § 86, 3. Τὸ ἐνεργητικὸν ἀναπληροῦται ὑπὸ τοῦ αἱρέω-ῶ σημαίνοντος αἰχμαλωτίζω, κυριεύω.

17. ἀνάλ-ίσκ-ω (ἀναλο) ἀνᾰλώσω· ἀνήλωσα καὶ ἀνᾰ΄λωσα· ἀνήλωκα καὶ ἀνᾰ΄λωκα, (καταναλίσκω, δκπανῶ). Πρκμ. Μέσ. ἢ Παθ. ἀνήλωμαι ἀνᾰ΄λωμαι· Ἀόρ. ἀνᾰλώθην καὶ ἀνηλώθην· Μέλλ. ἀνᾰλωθήσομαι· Ῥημ. ἁλωτός, εὐάλωτος.

18. εὑρίσκω (εὑρε-) εὑρήσω· εὗρον· Προστ. εὑρέ (§ 83, 3, ἀ.)· εὕρηκα. Μέσ. εὑρίσκω εἰς ἐμαυτόν, πορίζομαι, εὑρόμην· εὕρημαι· Παθ. εὑρέθην· εὑρεθήσομαι. Αὔξ. § 86, 1. Ῥημ. εὑρετός.

19. στερίσκω, στερήσω· ἐστέρησα, ἐστέρηκα (ἀποστερῶ)· Μέσ. καὶ Παθ. στερίσκομαι καὶ στεροῦμαι· ἀλλὰ στέρομαι (εἶμαι στερημένος), στερήσομαι· σπανιώτερον στερηθήσομαι· ἐστέρημαι· ἐστερήθην. Καὶ τὸ μὲν ἁπλοῦν εὕρηται πλειστάκις ὡς μέσον, εἰς τὴν ἐ ν ε ρ γ η τ ι κ ὴ ν ὅμως φωνὴν συνηθέστερον εἶνε τὸ σύνθετον ἀποστερίσκω.

20. πάσχω (προελθὸν ἐκ τοῦ πάνθ-σκω, μεταφερομένης τῆς δασύτητος εἰς τὸ κ), ἔπᾰθον (παθ)· πείσομαι § 7, 7. (πενθ.)· πέπονθα.

Σημ. Εἰς τὸ δ ι δ ά σ κ ω ἀντὶ δ ι δ ά κ-σκω, τὸ κ, καθὸ ἀνῆκον εἰς τὴν ῥίζαν, παραμένει εἰς τὸν σχηματισμὸν τῶν χρόνων· δ ι δ ά ξ ω· ἐ δ ί δ α ξ α· δ ε δ ί δ α χ α· δ ε δ ί δ α γ μ α ι· ἐ δ ι δ ά χ θ η ν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐξευρίσκω, ἐφεύρισκω.
πάσχω εὖ, λαμβάνω καλόν τι, εὐεργετοῦμαι.
ἐπαναφέρω, φέρω ὀπίσω, ἀναφέρω εἴς τι.
ἀμνημονέω, μετὰ Γεν., δὲν ἐνθυμοῦμαι.
πενθέω, πενθῶ.
πειράομαι-ῶμαι, προσπαθῶ.
μοῖρα, ἡ, μέρος, λαχνός, μοῖρα.
δεκάς, ἀδος, ἡ.
ἄλυπος, ον.
μόρσιμος (ποιητ.), ὑπὸ τῆς μοίρας προωρισμένος.
εὐγενής, ές, ἐκ καλοῦ γένους.

Ἀρχαῖον Ἑλληνικόν.

Ὀλίγους εὑρήσεις ἄνδρας ἑταίρους πιστοὺς ἐν χαλεποῖς πράγμασι γιγνομένους.—Πᾶσιν ἀνθρώποις μόρσιμόν ἐστιν ἀποθανεῖν.—Πενθοῦμεν τοὺς τεθνηκότας.—Ἡδέως τῶν παλαιῶν πράξεων μέμνηνται[1] οἱ ἄνθρωποι.—Οὐκ ἂν[2] εὕροις ἄνθρωπον πάντα[3] ὀλβιώτατον.—Ἡ καλῶς ζῆν[4] ἢ καλῶς τεθνηκέναι ὁ εὐγενὴς βούλεται.—Εἰ δεινὰ δι' ὑμετέραν κακίαν πεπόνθατε, μή τι[5] θεοῖς τούτων μοῖραν ἐπαναφέρετε.—Τὰ ἄλλα καὶ πόλεμος καὶ μεταβολὴ τύχης ἀνάλωσεν[6], ἡ τέχνη δὲ σώζεται.—Πάντ' ἔστιν ἐξευρεῖν, ἐὰν μὴ τὸν πόνον φεύγῃ τις.—Εἴ τις γηράσας ζῆν εὔχεται, ἄξιός ἐστι γηράσκειν πολλὰς εἰς ἐτῶν δεκάδας.—Μέμνησο ὅτι θνητὸς ὑπάρχεις.—Μεμνῆο (μεμνῶο) ἀεί, ἃ ὑπ' ἄλλων εὖ ἔπαθες.—Τύχῃ τέχνην εὕρηκας, οὐ τέχνῃ τύχην.—Τί κέχηνας, ὦ παῖ; οὐκ ἔστι βίον εὑρεῖν ἄλυπον οὐδενί[7].—Ἀχάριστος, ὅστις εὖ παθὼν ἀμνημονεῖ.—Δίκαιον εὖ πράττοντα μεμνῆσθαι τῶν ἀτυχῶν.

Ἁπλοῦν.

Ἡ πόλις ἔχει κυριευθῆ ὑπὸ τῶν ἐχθρῶν.—Οἱ πολῖται ἐνόμιζον ὅτι ἡ πόλις ἤθελε κυριευθῆ ὑπὸ τῶν ἐχθρῶν.—Διὰ[8] τοῦ πολέμου κατεδαπανήθη ὁλόκληρος ὁ πλοῦτος τῆς πόλεως.—Προσπάθει νὰ ἀρέσῃς εἰς τοὺς καλούς.—Ἡ δόξα τῆς ἀρετῆς δὲν θὰ γηράσῃ ποτέ.—Ὁ κακὸς δὲν θέλει γνωρίσῃ τὴν ὡραιότητα τῆς ἀρετῆς.—Οἱ δοῦλοι ἔχουσι δραπετεύσῃ τὴν νύκτα.—Λέγουσιν ὅτι[9] ὑπὸ τῶν Φοινίκων ἐφευρέθησαν τὰ γράμματα.—Οἱ ἀνδρεῖοι στρατιῶται θὰ ἀποθάνωσι προθύμως ὑπὲρ τῆς πατρίδος.—Δὲν ἐπιτρέπεται[10] νὰ λέγωμεν ψευδῆ· δὲν θὰ πάθω τοῦτο.—Οἱ αἰχμάλωτοι ἐπωλήθησαν ὑπὸ τῶν ἐχθρῶν.—Οἱ στρατιῶται ἐστέρησαν τοὺς πολίτας

---

[1] Μετὰ Γεν.— [2] Συντ. κανόν. Γυμν. ΛΗ', Σελ. 103.— [3] Κατὰ πάντα.— [4] § 96, 3.— [5] Μή τι, μηδόλως.— [6] Ὁ Ἀόρ. σημαίνει τὸ συνήθως γινόμενον καὶ ἐξηγεῖται διὰ τοῦ ἐνεστῶτος.— [7] Οὐκ ἔστι—οὐδενί, δὲν ἐπιτρέπεται εἰς κανένα, δὲν δύναται κάνεις.— [8] Δοτ.— [9] Αἰτ. μετ' Ἀπαρ.— [10] Οὐκ ἔστι μετὰ Δοτ.

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν περιουσίαν των.—Πολλοὶ στρατιῶται ἐπληγώθησαν εἰς τὴν μάχην.—Τὰ παιδία ἐστάθησαν μὲ ἀνοικτὸν τὸ στόμα (ἴδε χάσκω).—Ὁ Ἀλέξανδρος ἐδιδάχθη ὑπὸ τοῦ Ἀριστοτέλους.—Εἴθε νὰ ἐνθυμῆσθε πάντοτε τὴν εὐεργεσίαν, τὴν ὁποίαν ἔχετε λάβη ἀπὸ ἄλλους (πάσχειν ὑπ' ἄλλων).

§ 122. *Ε'. Ῥήματα, τῶν ὁποίων ἡ ἁπλῆ ῥίζα ἐπιτείνεται εἰς τὸν Ἐνεστ. καὶ Παρατατ., προστιθεμένου ἔμπροσθεν ἀναδιπλασιασμοῦ.*

Ὁ ἀναδιπλασιασμὸς ἐνταῦθα εἶνε ἐπανάληψις τοῦ πρώτου τῆς ῥίζης συμφώνου, συναπτομένου μετὰ τοῦ φωνήεντος ε.

1. βιβάζω (φέρω πρός τι), Μέλλ. Ἀττ. βιβῶ, ᾷς, ᾷ (§ 82).

2. γίγνομαι (ἀντὶ γιγένομαι, § 116), γενήσομαι· ἐγενόμην· γεγένημαι (ἔχω γείνη) καὶ γέγονα (μὲ σημ. Ἐνεστ., εἶμαι).

3. πίπτω (ἀντὶ πιπέτω, § 116), πεσοῦμαι (§ 115, 5)· ἔπεσον, § 115, Σημ. 6'. Πρκμ. πέπτωκα ἀντὶ πε-πέτωκα.

4. τίκτω ἐκ τοῦ τιτέκω, § 106, 1, τέξομαι, ἔτεκον, τέτοκα (γεννῶ, συνήθως ἐπὶ γυναικῶν).

5. τιτράω, τρήσω· ἔτρησα (τρυπῶ)· συνηθέστερος εἶνε ὁ ἄλλος τύπος τετραίνω, τετρᾶνῶ· ἐτέτρηνα· τέτρηκα.

Ἐνταῦθα ἀνήκουσι πολλὰ τῶν τῆς Δ'. τάξεως (§ 121), οἷον γιγνώσκω, καὶ πολλὰ προσέτι τῶν εἰς μι ῥημάτων, οἷον δίδωμι.

§ 123. *ΣΤ'. Ῥήματα εἰς τὴν ἁπλῆν ῥίζαν τῶν ὁποίων προστίθεται ἐν τῷ Ἐνεστ. καὶ Παρατ. ε, διατηρούμενον ἐν μέρει εἰς τὸν σχηματισμὸν τῶν χρόνων.*

1. γαμέω, Μέλλ· γαμ-ῶ· ἔγημα· γεγάμηκα (νυμφεύομαι, ἐπὶ ἀνδρός). Μέσ. γαμοῦμαι (μετὰ Δοτ.) (ὑπανδρεύομαι, ἐπὶ γυναικός), Μέλλ. γαμοῦμαι· Ἀόρ. ἐγημάμην· Παρακμ. γεγάμημαι. Παθητ. νυμφεύομαι ὑπ' ἄλλου, ἐγαμήθην.

2. γηθέω, ποιητ., συνήθως Παρκ. γέγηθα (μὲ σημ. Ἐνεστ. καὶ παρὰ Πεζογρ.) Μέλλ. γηθήσω (χαίρω).

3. δοκέω, δόξω· ἔδοξα (φαίνομαι, νομίζομαι, νομίζω). Ἀόρ. Παθ. κατεδόχθην· Πρκ. Μέσ. ἢ Παθ. δέδογμαι (ἔχω νομισθῆ, ἀποφασισθῆ).

4. μαρτῠρέω, μαρτυρήσω κλπ. (μαρτυρῶ)· ἀλλὰ μαρτῠ́ρομαι Ἀποθετ. Μέσ., ἐπικαλοῦμαι εἰς μαρτυρίαν.

5. ξυρ-έω (ξυρίζω), Μέσ. ξύρ-ομαι· Ἀόρ. ἐξυράμην, ἀλλὰ Παρακμ. ἐξύρημαι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

6. ὠθέω, ὤσω καὶ ὠθήσω· ἔωσα, ὦσκι· ἔωκα (σπρώχνω). Μέσ. ὦσομαι· ἐωσάμην· Παρκ. Μέσ. ἢ Παθ. ἔωσμαι· Ἀόρ. Παθ. ἐώσθην· ὠσθήσομαι (Αὔξ. § 86, 3).

Ξ'. *Γύμνασμα.*

Ἐμπίπτω, πίπτω ἐντός τινος, πίπτω, τυχαίνω ὁμοῦ· συμπίπτει συμβαίνει.
συμφέρω, φέρω ὁμοῦ, εἶμαι ὠφέλιμος.
συνδιατρίβω, περνῶ τὸν καιρόν μου μέ τινα, ζῶ μετά τινος.
εὐδοκιμέω, εἶμαι ἢ γίνομαι περίφημος, ἀποκτῶ ὑπόληψιν.
ἀπωθέω, ἀπωθῶ, ἐκβάλλω, ἐκδιώκω.
εἰσωθέω, ὠθῶ τι μέσα.
προνοέω, προνοῶ, φροντίζω πρότερον.
ἄτη, ἡ, συντάραξις τοῦ πνεύματος, ἀφροσύνη καὶ ἡ ἐντεῦθεν προερχομένη δυστυχία.
κεφαλή, ἡ.
φόνος, ὁ.
Μενέδημος, ὁ.
Ἀχαιός, ὁ.
Δημοσθένης, ὁ.
πώποτε, Ἐπίρρ. ποτὲ ἀκόμη.

Ἀρχαῖον Ἑλληνικόν.

Πολλάκις ἐκ κακοῦ ἀγαθὸν ἐγένετο, καὶ κακὸν ἐξ ἀγαθοῦ.—Χεῖρα πεσόντι ὄρεξον.—Ὁ ἀγαπῶν κίνδυνον ἐμπεσεῖται αὐτῷ.—Οἱ ἄνθρωποι πρὸς ἀρετὴν γεγόνασιν.—Μή μοι γένοιτ' ἃ βούλομαι, ἀλλ' ἃ συμφέρει.—Μὴ σπεῦδε πλουτεῖν, μὴ ταχὺ πένης γένῃ.—Πολλάκις ὁ εὐδοκιμεῖν πειρώμενος, οὐ προνοήσας, εἰς μεγάλην καὶ χαλεπὴν ἄτην ἔπεσεν.—Ὅταν ἀτυχεῖν σοι συμπέσῃ τι, Εὐριπίδου μνήσθητι· Οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ[1].—Μενέδημος πρὸς τὸν ἐρωτήσαντα, εἰ γήμαι ὁ σπουδαῖος, ἔλεξεν· Ἐγὼ γεγάμηκα.—Ἡ τοῦ φίλου θυγάτηρ, ἑνάτην ἡμέραν γεγαμημένη, τέθνηκεν.—Ἔδοξε τῷ στρατηγῷ[2] ἐπὶ τοὺς πολεμίους στρατεύσασθαι.—Δημοσθένης ἐξύρατο τὴν κεφαλήν.—Οἱ στρατιῶται εἰς τὴν πόλιν εἰσεώσθησαν.—Οἱ στρατιῶται ἀπεώσαντο τοὺς πολεμίους.

Ἁπλοῦν.

Ἂν τοιουτοτρόπως πράττῃς (πράττω), θὰ γείνῃς ταχέως πτωχός.—Οἱ στρατιῶται ἔχουσι πέσῃ εἰς τοὺς ἐχθρούς.—Μὴ πέσῃς, ὦ φίλε.—Ἡ θυγάτηρ τοῦ φίλου μου θὰ ὑπανδρευθῇ τὸν υἱὸν τοῦ ἀδελφοῦ μου.—Οἱ πολῖται θὰ χαρῶσιν, ὅταν ἀκούσωσι (ἀκούσαντες) τὴν ἧτταν[3] τῶν ἐχθρῶν.—Εἶνε ἀποφασισμένον[4], οἱ στρατιῶται νὰ ἐκστρατεύσωσιν[5] ἐναντίον τῶν ἐχθρῶν.—Πάντες θὰ μαρτυρήσουν διὰ σὲ ὅτι ἔχεις κάμῃ πολλὰς καλὰς

[1] Ἤγουν, οὐκ ἔστιν ἀνήρ, ὅστις κατὰ πάντα εὐδαιμ.—[2] Ὁ στρατηγὸς ἀπεφάσισεν.
[3] Κατὰ γενικήν.—[4] Παθ. Πορκ. τοῦ δοκέω.—[5] Ἀπαρ. μετ' Αἰτιατ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πράξεις εἰς τὴν πολιτείαν.—Οἱ στρατιῶται ἔχουν ξυρήση τὰς κεφαλάς των.—Οἱ ἐχθροὶ ἔσπρωξαν τοὺς στρατιώτας μέσα εἰς τὴν πόλιν.

§ 124. Ζ'. *Ῥήματα, τὰ ὁποῖα εἰς μὲν τὸν Ἐνεστ. καὶ Παρατατ. ἔχουσι τὴν ἁπλῆν ῥίζαν, εἰς τὸν σχηματισμὸν ὅμως τῶν χρόνων προσλαμβάνουσιν ε.*

Τὸ ε ἐν τῇ κλίσει τοῦ ῥήματος τρέπεται εἰς η· ἐξαιρεῖται τὸ ἄχθομαι καὶ ἐν μέρει τὸ μάχομαι καὶ ἔχω.

1. ἀλέξω, Ἐνεργ. σπάν. εἰς τὸν Πεζ. Λόγ., ἀλεξήσω, ἠλέξησα (ἀπομακρύνω). Μέσ. ἀπομακρύνω ἀπ' ἐμαυτοῦ, [ἀλεξήσομαι, σπαν. ἀλέξομαι τῆς Ῥιζ. ἀλεκ-], ἠλεξάμην [καὶ σπαν. ἠλεξησάμην].

2. ἄχθομαι, ἀχθέσομαι, ἠχθέσθην (ἀγανακτῶ).

3. βόσκω, βοσκήσω· ἐβόσκησα· τὸ Μέσ. σημαίνει βόσκω (Ἀμεταβ.).

4. βούλομαι, βουλήσομαι· ἐβουλήθην καὶ ἠβουλ.· βεβούλημαι (θέλω).

5. δέω (ἔχω ἔλλειψιν), συνήθ. ἀπροσώπ. δεῖ (εἶνε ἀνάγκη, πρέπει, § 96), προσωπ. μόνον μετὰ τοῦ μικροῦ, τοσούτου, πολλοῦ, οἷον· πολλοῦ δέω· δεῖ (δέῃ), δέον, δεῖν· ἔδει, δέοι· δεήσει· ἐδέησε(ν). Μέσ. δέομαι, δεήσομαι· ἐδεήθην· δεδέημαι (ἔχω ἀνάγκην, παρακαλῶ).

6. ἐθέλω, σπανιώτερον θέλω, ἐθελήσω καὶ θελήσω· ἠθέλησα καὶ ἐθέλησα· μόνον ὅμως ἠθέληκα.

7. (ἐρ-, λέγω, Μέσ. κάμνω νὰ μοῦ εἴπουν=ἐρωτῶ), Ἀόρ. ἠρόμην (ἠρώτησα), ἐρέσθαι, ἔρωμαι, ἐροίμην, ἐροῦ, ἐρόμενος· Μέλλ. ἐρήσομαι· οἱ ἐποίλοιποι χρόνοι ἀναπληροῦνται ἐκ τοῦ ἐρωτῶ.

8. ἔῤῥω, ἐῤῥήσω· ἤῤῥησα· ἤῤῥηκα, (φεύγω, γκρεμίζομαι).

9. εὕδω, συνήθως καθεύδω· Μέλλ. καθευδήσω (κοιμῶμαι). Ὁ Ἀόρ. καὶ Παρκμ. λείπουν. (Ἀΰξ. ἴδε § 90, 3).

10. ἔχω, Μέλλ. ἕξω καὶ (σχε-) σχήσω· Ἀόρ. ἔσχον· Παρκμ. ἔσχηκα (ἔχω, κρατῶ).—Ἔσχον (ἀντὶ ἔ-σεχον), Ἀπαρ. σχεῖν, Προστ. σχές, παράσχες κατὰ τὰ εἰς μι ῥήματα (ἐν Συνθέσ. καὶ σχε, οἷον· κατάσχε, παράσχε), Ὑποτ. σχῶ, σχῇς, παράσχω, παράσχῃς κλπ. Εὐκτ. σχοίην (μι), ἀλλὰ ἐν Συνθέσ. παράσχοιμι κλπ. Μετοχ. σχών· Ἀόρ. Μέσ. ἐσχόμην (καὶ ἀντὶ τοῦ Ἀορ. Παθητ.), σχῶμαι, σχοίμην, σχοῦ, παράσχου, σχέσθαι, παρασχέσθαι, σχόμενος· ἕξομαι (καὶ ἀντὶ τοῦ Παθ. Μέλλ.) καὶ σχήσομαι· ἔσχημαι.

11. ἕψω, ἑψήσομαι· ἥψησά (βράζω), Ἀόρ. ἡψήθην· Πρκ. Μέσ. ἤ Παθ. ἥψημαι.

12. ἵζω, συνήθ. καθίζω, καθιῶ (§ 82)· κεκάθικα· ἐκάθισα, ἀρχ. Ἀττ. καθῖσα (90, 3), (καθίζω, βάλλω τινὰ νὰ καθίσῃ)· Παρτ. ἐκάθιζον, ἀρχ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀττ. καθίζον· Μέσ. (κάθημαι ὁ ἴδιος) καθιζήσομαι, ἐκαθισάμην (ἐκάθισα, ἔβαλα τινὰ νὰ καθίσῃ). Ἀλλὰ καθέζομαι (τοῦ ὁποίου ὁ Ἐνεστ. σπάν., ἀντ' αὐτοῦ δὲ σύνηθες τὸ κάθημαι, καθίζω, κάθημαι ἐγώ), Παρτ. (καὶ ὡς Ἀόρ. εὔχρηστος) ἐκαθεζόμην· Μέλλ. καθεδοῦμαι.

13. κλαίω (σπανίως κλάω, ἄνευ συναιρέσεως), κλαύσομαι (κλαυσοῦμαι § 115, 2, παρ' Ἀριστοφ.) σπανιώτερον κλαιήσω ἢ κλαῆσω· ἔκλαυσα. Μέσ. ἐκλαυσάμην· κέκλαυμαι καὶ κέκλαυσμαι (§ 94)· Μέλλ. Τετελ. κεκλαύσεται.

14. μάχομαι, Μέλλ. μαχοῦμαι (§ 115, 4)· ἐμαχεσάμην· μεμάχημαι.

15. μέλλω, μελλήσω· ἐμέλλησα (μέλλω, βραδύνω). Αὔξ. § 84, Σημ.

16. μέλει μοι (μὲ μέλει), μελήσει· ἐμέλησε(ν)· μεμέληκε(ν). Μέσ. μέλομαι, συνήθως ἐπιμέλομαι (καὶ ἐπιμελοῦμαι), μεταμέλομαι· ἐπιμελήσομαι· ἐπεμελήθην. ἐπιμεμέλημαι (ἐπιμελοῦμαι, φροντίζω).

17. μύζω, μυζήσω κλπ. (βυζάνω, μυζῶ, πιπιλίζω).

18. ὄζω, ὀζήσω· ὤζησα (μυρίζω), (Παρκ. ὄδωδα μετὰ σημ. Ἐνεστ. παρ' Ὁμήρ. καὶ μεταγ., § 88).

19. οἶομαι καὶ οἴμαι· Παρατ. ᾠόμην καὶ ᾤμην· οἰήσομαι· ᾠήθην, οἰηθῆναι (ὁ Παρκ. λείπει), (νομίζω)· Αὔξ. § 86, 1.

20. οἴχομαι (ἀνεχώρησα), Πρτ. (καὶ ὡς Ἀόρ. εὔχρηστος) ᾠχόμην (ἔφυγα). οἰχήσομαι, Ἀόρ. λείπει· ᾤχημαι συνήθως ἐν συνθέσει, οἷον· παρῴχημαι.

21. ὀφείλω (ἀντὶ ὀφέλλω κατὰ § 110, 1, ά.), ὀφειλήσω· ὠφείλησα, ὠφείληκα (χρεωστῶ, ὀφείλω)· Ἀόρ. 6'. ὤφελον, ες, ε(ν) μετ' Ἀπαρεμφ. (τὰ ἐπίλοιπα ἄχρηστα) ἐπὶ εὐχῶν, ὅτε ἐξηγ. εἴθε, οἷον· ὤφελε γενέσθαι =εἴθε νὰ ἐγίνετο.

22. πέτομαι, πτήσομαι· ἐπτόμην, πτέσθαι (πετῶ)· Παρκ. πεπότημαι τοῦ ποτάομαι. Συγκοπή, § 116· ποιητ. Ἀόρ. 6'. ἔπτην καὶ ἐπτάμην, § 141, 2.

23. σκέλλω (ξηραίνω), σκλήσομαι (§ 141), ἔσκλην καὶ ἔσκληκα, ἀμεταβ. ξηραίνομαι. Μετάθεσις § 116, 3.

24. τύπτω, Μέλλ. πατάξω καὶ παίσω, σπαν. τυπτήσω· Ἀόρ. ἐπάταξα καὶ ἔπαισα· Παρκ. πληγὰς εἴληφα. Παθ. τύπτομαι, πληγὰς λήψομαι, πληγὰς ἔλαβον. Τέτυμμαι καὶ ἐτύπην, Ὁμηρ.

25. χαίρω, χαιρήσω· ἐχάρην (μι, § 141, 6). Πρκμ. κεχάρηκα.

Σημ. Μετὰ τῶν ρημάτων τούτων συγκαταλέγονται πολλὰ ὑγρόληκτα ρήματα (§ 114, 2), ἅτινα ὅμως σχηματίζουσι κανονικῶς τὸν Μέλλ. καὶ Ἀόρ., οἷον·

μένω, μενῶ· ἔμεινα· μεμένηκα. Ῥημ. μενετός, ὑπομενετέον.

νέμω, νεμῶ· ἔνειμα· νενέμηκα (μοιράζω). Ἀόρ. Παθ. ἐνεμήθην. Μέσ. νέμομαι, νεμοῦμαι· ἐνειμάμην· νενέμημαι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

'Αναπέτομαι, πετῶ, ἐπάνω.
ἀποπέτομαι, πετῶ, φεύγω.
ἀνέῳγα, βράζω, κάμνω νὰ βράσῃ, μεταβατ.
διαμένω, μένω διαρκῶς.
ἐλέγχω, δοκιμάζω, ἐρευνῶ, ψέγω, καταισχύνω, ἐξελέγχω.
ἐρωτάω, ἐρωτῶ.
ἀμβροσία, ἡ, ἔδεσμα τῶν θεῶν.
καλοκἀγαθία, ἡ.
λεία, ἡ.
μαχητής, ὁ, πολεμιστής.
πάππος, ὁ.
ἡμίθεος, ὁ.
θρόνος, ὁ.
μύρον, τό.
τρίπους, οδος, ὁ.
Αἴσων, ονος, ὁ.
Γανυμήδης, ους, ὁ.
Πολυδεύκης, ους, ὁ.
μέρος ους, τό.
ὄρος, ους, τό, βουνόν, διάφορον τοῦ ὄρος, σύνορον.
μεστός, στή, στόν, μετὰ Γεν., πλήρης.
βασίλειος, ον, βασιλικός.
ἐπιτήδειος, ον, ἐπιδέξιος· τὰ ἐπιτήδεια, τὰ πρὸς τὸ ζῆν.
πλήν, Ἐπιρρ. ἐκτός.
εἰ, Σύνδ. ἐάν, ἄν.

Ἀρχαῖον Ἑλληνικόν.

Οἱ στρατιῶται τοὺς πολεμίους ἀλεξήσονται.—Μὴ ἀχθεσθήτε ὑπὲρ ὧν[1] ἡμαρτάνετε ἐλεγχόμενοι.—Ὁ ποιμὴν τῶν αἰγῶν τὴν ἀγέλην ἐν τοῖς ὄρεσι βοσκήσει.—Οἱ στρατιῶται ἐπὶ τοὺς πολεμίους στρατεύεσθαι ἐβουλήθησαν.—Τοῖς στρατιώταις ἐν τῇ πολεμίᾳ γῇ τῶν ἐπιτηδείων δεήσει.—Πλούσιός ἐστιν οὐχ ὁ πολλὰ κεκτημένος, ἀλλ' ὁ μικρῶν δεησόμενος.—Πολυδεύκης οὐδὲ θεὸς ἠθέλησε μόνος, ἀλλὰ μᾶλλον ἡμίθεος σὺν τῷ ἀδελφῷ γενέσθαι.—Οἱ βάρβαροι ὑπὸ τῶν Ἑλλήνων διωχθέντες θαρραλέως ἐμαχέσαντο.—Ἐροῦ τὸν πατέρα, εἰ τὴν ἐπιστολὴν γέγραφεν.—Οὐ πρέπει τὸν στρατηγὸν ἐν κινδύνοις καθευδήσαι.—Οὐδεὶς ἀνθρώπων ἠξιώθη τοῖς θεοῖς ὁμιλεῖν, πλὴν ὅσοι μετεσχήκασι κάλλους· Πέλοψ γὰρ τούτου ἕνεκα ἀμβροσίας μετέσχε καὶ Γανυμήδης καὶ ἄλλοι τινές.—Μήδεια Αἴσονα ἀνεψήσασα νέον ποιῆσαι λέγεται.—Καθιοῦμένσε, ὦ στρατηγέ, εἰς τὸν θρόνον τὸν βασίλειον.—Ὁ βασιλεὺς ἐπὶ τοῦ θρόνου καθιζήσεται.—Οἱ Ἕλληνες ἐν Σαλαμῖνι θαρραλέως ἐμαχέσαντο.—Κῦρος ὑπὸ Μανδάνης τῆς μητρὸς ἐρωτηθείς, εἰ βούλοιτο μένειν παρὰ τῷ πάππῳ, οὐκ ἐμέλλησεν, ἀλλὰ ταχὺ ἔλεξεν, ὅτι μένειν βούλοιτο.—Τοῖς ἀγαθοῖς τῆς ἀρετῆς μελήσει.—Χρηστοὶ νέοι οὐ μύρων ὀζήσουσιν[2], ἀλλὰ καλοκἀγαθίας.—Οἱ στρατιῶται νικηθέντες τοὺς πολεμίους ἀποφυγεῖν, ὤχοντο.—Ἡ ψυχὴ ἀναπτομένη οἰχήσεται ἀθάνατος καὶ ἀγήρως.—Οἱ κακοῦργοι μεγάλην

[1] Ἤγουν ὑπὲρ τούτων, ἅ. — [2] Ὄζειν τινός, μυρίζω ἀπό τι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ζημίαν ὅλον[1].—Ἡ ὄρνις ἀναπεπότηται.—Οἱ πολῖται δεινῶς ἐκεχαρήκεσαν ἐπὶ τῇ νίκῃ.—Οἱ θηρευταὶ πᾶσαν τὴν νύκτα ἐν τοῖς ὄρεσι διεμεμενήκεσαν.—Τῆς λείας μέρος ὑπὸ τῶν στρατιωτῶν τῷ στρατηγῷ ἐνεμήθη.—Τρίποδες ἦσαν κρεῶν[2] μεστοὶ νενεμημένων.

Ἀπλοῦν.

Οἱ στρατιῶται ἀπέκρουσαν (Ἀόρ. Μέσ.) τοὺς ἐχθροὺς θαῤῥαλέως.—Πολλοὶ ποιμένες ἐβόσκησαν αἶγας ἐπὶ τῶν ὀρέων.—Ὁ πατὴρ θὰ θελήσῃ νὰ ἀποδημήσῃ αὔριον.—Ὁ καλὸς στρατηγὸς ἐπιμελεῖται, ὅπως μὴ πάθωσιν (Μέλλ. Ὁριστ.) οἱ στρατιῶται ἔλλειψιν τῶν πρὸς τὸ ζῆν.—Οἱ καλοὶ δὲν θὰ θελήσουν νὰ συναναστραφοῦν τοὺς κακούς.—Θὰ ἐρωτήσω τὸν πατέρα, ἂν ἔχῃ γραφὴ ἡ ἐπιστολή.—*Ἂν εἶσαι κουρκσμένος (Παρακμ. Μετοχ. τοῦ κάμνω, § 116, 3), θὰ κοιμηθῇς εὐχαρίστως.—Οἱ κατειλημμένοι (Παρκμ. τοῦ ἔχω) ὑπὸ κακῶν ἐπιθυμιῶν εἶνε ὅλοι δοῦλοι.—Οἱ δειλοὶ στρατιῶται δὲν θὰ ἔχωσι μέρος εἰς τοὺς κινδύνους.—Λέγεται ὅτι ὁ Αἴσων, βρασθεὶς ὑπὸ τῆς Μηδείας, εἶχε γείνῃ πάλιν νέος.—Οἱ στρατιῶται ἐκάθισαν τὸν στρατηγὸν [αὐτῶν] ἐπὶ τοῦ βασιλικοῦ θρόνου.—Οἱ καλοὶ πολεμισταὶ θὰ πολεμήσωσι θαῤῥαλέως ὑπὲρ τῆς πατρίδος.—Δὲν θὰ βραδύνω, ἀλλὰ ταχέως θὰ ἐρωτήσω.—Οἱ νόμοι θὰ ἐπιμεληθῶσι περὶ τοῦ κοινοῦ καλοῦ.—Τὰ ἄνθη μυρίζουν (Παρκμ.) ὡραῖα.—Οἱ νέοι ἐμύρισαν μύρα (Γεν.).—Οἱ πολῖται δὲν θὰ πιστεύσουν ὅτι οἱ ἐχθροὶ ἔχουν ἤδη φύγῃ (Αἰτιατ. μετ' Ἀπαρ.).—Θὰ ἀναχωρήσω.—Οἱ κακοῦργοι θὰ ὀφείλωσι μεγάλην τιμωρίαν.—Τὸ πτηνὸν θὰ πετάξῃ καὶ θὰ φύγῃ.—Θὰ χαρῶ, ἂν τιμῶμαι (Μετοχ.) ὑπὸ τῶν καλῶν.—Οἱ στρατιῶται ἔχουν ἀπονείμῃ εἰς τὸν στρατηγὸν μέρος τῆς λείας.

§ 125. *Η'. Ῥήματα, τῶν ὁποίων οἱ χρόνοι σχηματίζονται ἐκ διαφόρων ῥιζῶν, αἵτινες κατὰ τὴν σημασίαν μόνον συμφωνοῦσιν.*

1. αἱρέω, αἱρήσω· (ἑλ-) εἷλον, ἑλεῖν· ᾕρηκα (κυριεύω, π. χ. μίαν πόλιν). Πρκμ. Μέσ. ᾕ Παθ. ᾕρημαι. Ἀόρ. Παθ. ᾑρέθην· αἱρεθήσομαι. Μέσ. (λαμβάνω δι' ἐμαυτόν, ἐκλέγω), αἱρήσομαι, εἱλόμην· Μέλλ. Τετ. ᾑρήσομαι.

2. ἔρχομαι, Παρακμ. ἐλήλυθα (ὑπάγω, ἔρχομαι). Τοῦ ἐνεστῶτος, ἐκτὸς τοῦ ἔρχομαι, πᾶσαι αἱ ἄλλαι ἐγκλίσεις σχηματίζονται ἐκ τοῦ εἶμι (§ 136), λοιπόν· ἔρχομαι, ἴω, ἴθι, ἰέναι, ἰών· Πρτ. ᾐρχόμην, συνήθως ᾖειν καὶ ᾔα, Ἐύκτ. ἰοίμι· Μέλλ. εἶμι (θὰ ὑπάγω), (ἥξω, θὰ ἔλθω)· Ἀόρ. ἦλθον, ἔλθω, ἔλθοιμι, ἐλθέ (§ 83, 3), ἐλθεῖν, ἐλθών.

---

[1] Ἔμελλον νὰ ἀποτίσουν.—[2] § 43.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

3. ἐσθίω (ἔδω, ἐπικ.) Μέλλ. ἔδομαι· Ἀόρ. ἔφαγον, φαγεῖν· (ἐδε-) ἐδήδοκα (τρώγω)· Παρκ. Μέσ. ἢ Παθ. ἐδήδεσμαι· Ἀόρ. Παθ. ἠδέσθην. Ἀττ. Ἀναδιπλ. § 88.

4. ζάω (§ 96, 3), Πρτ. ἔζων· βιώσομαι καὶ σπαν. ζήσω καὶ ζήσομοι· ἐβίων (μι, § 141, 8). βελίωκα.

5. ὁράω, Μέλλ. (ὀπ) ὄψομαι· Ἀόρ. (ἰδ-, ἐν ἀρχῇ Fιδ-) εἶδον (ἴδω, ἴδοιμι, ἰδέ (§ 83, 3). ἰδεῖν, ἰδών)· Πρκ. ἑώρακα (βλέπω). Μέσ. ὁρῶμαι, παρ' Ἀττ. πεζγρ. ἐν συνθέσει προορ. (προβλέπω)· ἑώρᾶμαι ἢ ὦμμαι, ὦψαι κτλ.· Ἀπαρ. ὦφθαι· Ἀόρ. Μέσ. εἰδόμην, ἰδέσθαι, ἰδοῦ (ὅταν δὲ σημαίνῃ νά! γράφε ἰδού), ὡς ἁπλοῦν μόνον ποιητικ. Ἀόρ. Παθ. ὤφθην, ὀφθῆναι· Μέλλ. ὀφθήσομαι. Αὐξ. § 86, 5.

6. τρέχω (δρεμ-) δραμοῦμαι· ἔδραμον· δεδράμηκα. Πρκ. Μέσ. ἢ Παθ. ἐπιδεδράμημαι.

7. φέρω, (οἰ-) οἴσω· (ἐνεγκ) Ἀόρ· ἤνεγκον καὶ ἤνεγκα, ες, ε(ν), ομεν. ετε, ον (καὶ ας, αμεν, ατε, αν), Εὐκτ. ἐνέγκοιμι κλπ. (σπανιώτερον -αιμι κλπ.), Ἀπαρ. ἐνεγκεῖν ,Μετχ. ἐνεγκών (σπανιώτερον ἐνέγκας), Προστ. ἔνεγκε, -έτω κλπ. (καὶ -άτω κλπ.) (ἐνεκ-) Πρκμ. ἐνήνοχα (§ 88). Μέσ. (φέρω, φέρω μαζί μου. φέρω ἀπό τι), οἴσομαι· ἐνήνεγμαι) (-γξαι, -γκται ἢ ἐνήνεκται)· Ἀόρ. Μέσ. (ἤρεα, ἔφερα μαζί μου), ἠνεγκάμην, ἔνεγκαι, -ασθαι. -άμενος· Παθ. ἀ.) φέρομαι, κινοῦμαι· β΄.) κινοῦμαι, σπεύδω· ἠνέχθην· ἐνεχθήσομαι.

8. φημὶ (§ 134), (ἐρ) Μέλλ. ἐρῶ· (εἰπ-) Ἀόρ. εἶπον, Παρακμ. εἴρηκα (λέγω) Παρατ. ἔφην, μὲ σημασίαν Ἀορ., οὕτω δὲ καὶ φάναι (ἀλλὰ Μετοχ. φάσκων)· ἡ δὲ ῥίζα ἐρ- ἐπροφέρετο κατ' ἀρχὰς Fερ· διὸ εἴρηκα, ἤγουν Fέ-Fρη-κα (κατὰ μετάθεσιν), ἐρρήθην, ἤγουν ἐFρήθην· τὸ δὲ εἶπον ἦτο κατ' ἀρχὰς ἐFέFεπον· ἐκ τοῦ ε ἶ π ο ν γίνεται Ὑποτ. εἴπω, Εὐκτ. εἴποιμι, Προστ. εἰπέ (§ 83, 3)· (οἱ δὲ λοιποὶ τύποι τῆς Προστ. εἶνε σπάνιοι ἢ ὅλως ἄχρηστοι, ἐν Συνθέσ. πρόειπε· εἰπεῖν, εἰπών· (ὁ Ἀόρ. ἀ. εἶπα ὄχι τόσον συχνὸς παρ' Ἀττικοῖς, συχνότερον εἶπας· πολὺ συχνὰ εἴπατε, σπανίως εἶπαν, Προστ. εἶπον σπανίως, πολὺ συχνὰ εἰπάτω, εἴπατον, εἰπάτων. πάντοτε δὲ εἴπατε· πάντα δὲ τὰ ἐπίλοιπα λείπουν εἰς τὴν Ἀττ. διάλεκτον)· Πρκ. Μέσ. ἢ Παθ. εἴρημαι· Ἀόρ. Παθ. ἐρρήθην (ῥηθῆναι, ῥηθείς), Μέλλ. Παθ. ῥηθήσομαι καὶ εἰρή-σομαι· Μέσ. μόνον ἐν Συνθέσ. Μέλλ., ἀπεροῦμαι καὶ Ἀόρ. Ἀπαρ. ἀπείπασθαι (ἀρνοῦμαι, ἀπελπίζομαι)· οὕτω δὲ καὶ ἀπειπεῖν. Σύνθετ. ἀπαγορεύω, ἀπεῖπον· ἀντιλέγω, ἀντεῖπον, συχνότερα τῶν ἀπηγόρευσα καὶ ἀντέλεξα. Οὕτω καὶ ἀγορεύω τινὰ κακῶς, ἀλλὰ ἀντείπόν τινα κακῶς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐξεῖπον, εἶπον ἔξω, ἐξέφρασα.
παρατρέχω, μετ' Αἰτ. περνῶ τρέχων.
παραφέρω, φέρω πέραν, περνῶ φέρων.
περιοράω, παραβλέπω, παραμελῶ.
προέρχομαι, πηγαίνω ἐμπρός.
ὀργίζομαι, μετὰ Π. Ἀόρ.
ἀγανακτέω, -ῶ.
ἀνακράζω, φωνάζω.
[δείδω], φοβοῦμαι· Πρκ. δέδοικα, μὴ σημασ. Ἐνεστ.
πταίρω, φταιρνίζομαι.
λυπέω, λυπῶ.
παρακαταθήκη, ἡ, τὸ κατατεθὲν ἐνέχυρον.
Ἅδης, ου, ὁ.
ἐνύπνιον τό, ὄνειρον.
γλαύξ, κός, ἡ, κουκουβάγια.
ῥεῦμα, ατος, τό.
πέρας, ατος, τό, τέλος.
μακρός, ά, όν.
Περσικός, ή, όν.
βραδύς, εῖα, ύ.
εὔβουλος, ον, καλῶς σκεπτόμενος, συνετός, φρόνιμος.
ἐρρωμένως, Ἐπίῤῥ. δυνατά, μὲ δύναμιν.
σφόδρα, Ἐπίῤῥ. πολύ.
μήπω, Ἐπίῤῥ. ὄχι ἀκόμη.
πρίν, Σύνδ.

Ἀρχαῖον Ἑλληνικόν.

Καὶ βραδὺς εὔβουλος εἶλε[1] ταχὺν ἄνδρα διώκων.—Οἱ Ἀθηναῖοι Θεμιστοκλέα στρατηγὸν εἵλοντο ἐν τῷ Περσικῷ πολέμῳ.—Ὀδυσσεὺς εἰς Ἅδου ἦλθεν.—Ἢν ἂν μοῖραν ἕλῃς, ταύτην φέρε καὶ μὴ ἀγανάκτει.—Λυπούμεθ', ἂν πτάρῃ τις· ἂν εἴπῃ κακῶς, ὀργιζόμεθα· ἂν ἴδῃ τις ἐνύπνιον, σφόδρα φοβούμεθα· ἂν γλαὺξ ἀνακράζῃ, δεδοίκαμεν.—Μὴ πίστευε τάχιστα, πρὶν ἢ πέρας ἴδῃς.—Σὺ ὄψει.—Μετρίως φάγε.—Εἰρήκει μὲν διὰ μακρῶν.—Ὅστις λόγους ὡς παρακαταθήκην λαβὼν ἐξεῖπεν ἀδικός ἐστιν ἢ ἄγαν ἀκρατής.—Μὴ τοῦτο βλέψῃς, εἰ νεώτερος λέγω, ἀλλ' εἰ φρονούντων τοὺς λόγους ἀνδρῶν ἐρῶ.—Πένθει μετρίως τοὺς ἀποθανόντας φίλους· οὐ γὰρ τεθνήκασιν, ἀλλὰ τὴν αὐτὴν ὁδὸν, ἣν πᾶσιν ἐλθεῖν ἐστιν ἀνάγκη, προεληλύθασιν.—Ξένους πέντητας μὴ παραδράμῃς ἰδών.—Ποταμός τις καὶ ῥεῦμα βιαιόν ἐστιν ὁ αἰών· ἅμα τε γὰρ ὤφθη καὶ παρενήνε(γ)κται καὶ ἄλλο παραφέρεται, τὸ δὲ[2] ἐνεχθὲν οὐκέτι.—Ἔνεγκε λύπην καὶ βλάβην ἐῤῥωμένως.—Φίλον δι' ὀργὴν ἐν κακοῖς μὴ περιΐδῃς.—Μήπω μέγαν εἴπῃς, πρὶν ἂν τελευτήσαντ' ἴδῃς.

Ἁπλοῦν.

Οἱ ἐχθροὶ ἔχουν κυριεύσει τὴν πόλιν.—Ὁ Θεμιστοκλῆς ἐξελέχθη ὑπὸ τῶν Ἀθηναίων στρατηγός.—Ἔλα, ὦ φίλε, καὶ ἴδε τὸν δυστυχῆ.—Ἀπεινᾶς (Μετοχ.), θὰ φάγῃς εὐχαρίστως.—Τὸ παιδίον ἔχει φάγη.—

---

[1] Ὁ Ἀόρ. σημαίνει τὸ συνήθως γενόμενον.—[2] Ἀντὶ ἄλλο δέ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τροφαὶ εἶνε φαγωμέναι.—Ἔχω ἰδῆ τὸν δυστυχῆ.—Οἱ ἐχθροὶ ἐφάνησαν.—Ὅταν ἴδῃς τοὺς πτωχούς σου φίλους, μὴ περάσῃς ἔμπροσθεν αὐτῶν τρέχων.—Τὸ παιδίον ἔχει τρέξῃ πολὺ ταχέως.—Ἡ λύπη ἐφέρθη ὑπὸ τοῦ πατρὸς μὲ δύναμιν.—Τί ἔχει λεχθῆ εἰς σὲ ὑπὸ τοῦ φίλου;

§ 126. *Β'. Συζυγία τῶν εἰς μι.*

1. Τὸ κύριον ἰδίωμα τῆς συζυγίας τῶν εἰς μι εἶνε τοῦτο, ὅτι τὰ κατ' αὐτὴν κλινόμενα ῥήματα στεροῦνται τοῦ ἐγκλιτικοῦ φωνήεντος εἰς τὸν ἐνεστῶτα καὶ παρατατικόν, πολλὰ δ' ἐξ αὐτῶν καὶ εἰς τὸν Ἐνεργ. καὶ Μέσ. Ἀόρ. β'., ἔτι δὲ τὸν Ἐνεργ. Παρκμ. καὶ Ὑπερσ. Ἡ κλίσις ὅμως πάντων τῶν ἐπιλοίπων χρόνων τῶν ῥημάτων τούτων συμφωνεῖ πρὸς τὴν κλίσιν τῶν εἰς ω ῥημάτων, πλὴν μικρῶν τινων παραλλαγῶν.

2. Τὰ εἰς μι ῥήματα προσθέτουσι τὰς προσωπικὰς καταλήξεις εἰς τὴν ῥίζαν ἢ ἀμέσως, οἷον· φη-μί (Ῥίζ. φα-), ἢ διὰ μέσου τῆς συλλαβῆς νυ, οἷον δείκ-νυ-μι (Ῥίζ. δεικ-). Τινὰ δὲ λαμβάνουσιν ἀναδιπλασιασμὸν εἰς τὸν Ἐνεστ. καὶ Παρατατ., οἷον δί-δω-μι. Ἴδε § 129.

Σημ. Ἡ διαίρεσις τῶν εἰς μι ῥημάτων καὶ αἱ διάφοροι αὐτῶν ἰδιότητες, ἅμα δὲ ὁ σχηματισμὸς τῶν χρόνων, ἑρμηνεύονται εἰς τὰς §§ 128—132.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Χρόνοι. | Ἐγκλισ. | Ἀριθμοὶ Πρόσωπ. | Ἐνεργητικόν.

Ἐνεστώς.

			στα-	θε-	δο-	δεικ-
Ὁριστική.		Ἑν. 1	ἵ-στη-μι	τι-θη-μι	δι-δω-μι	δεικ-νῡ-μι[1]
		2	ἵ-στη-ς	τί-θης	δί-δως	δείκ-νῡς
		3	ἵ-στη-σι(ν)	τί-θη-σι(ν)	δί-δω-σι	δείκ-νῡ-σι(ν)
		Δ. 1				
		2	ἵ-στᾰ-τον	τί-θε-τον	δί-δο-τον	δείκ-νῡ-τον
		3	ἵ στᾰ-τον	τί-θε-τον	δί-δο-τον	δείκ-νῡ-τον
		Πλ. 1	ἵ-στᾰ-μεν	τί-θε-μεν	δί-δο-μεν	δείκ-νῡ-μεν
		2	ἵ-στᾰ-τε [1, ἀ.	τί-θε-τε	δί-δο-τε	δείκ-νῡ-τε
		3	ἱ-στᾶσι(ν) § 131,	τι-θέ-ᾱσι(ν)	δι-δό-ᾱσι(ν)	δεικ-νῦ́-ᾱσι(ν)
Ὑποτακτική.		Ἑν. 1	ἱ-στῶ	τι-θῶ	δι-δῶ	δεικ-νῦ́-ω
		2	ἱ-στῇ-ς	τι-θῇ-ς	δι-δῷς	δεικ-νῦ́-ῃς
		3	ἱ-στῇ	τι-θῇ	δι-δῷ	κλπ.
		Δ. 1				
		2	ἱ-στῆ-τον	τι-θῆ-τον	δι-δῶ-τον	
		3	ἱ-στῆ-τον	τι-θῆ-τον	δι-δῶ-τον	
		Πλ. 1	ἱ-στῶ-μεν	τι-θῶ-μεν	δι-δῶ-μεν	
		2	ἱ-στῆ-τε	τι-θῆ-τε	δι-δῶ-τε	
		3	ἱ στῶ-σι(ν)	τι-θῶ-σι(ν)	δι-δῶ-σι(ν)	
Εὐκτική.		Ἑν. 1	ἱ-σταί-ην	τι-θεί-ην	δι-δοί-ην	δεικ-νῦ́-οιμι
		2	ἱ-σταί-ης	τι-θεί-ης	δι-δοί-ης	δεικ-νῦ́-οις
		3	ἱ-σταί-η	τι-θεί-η	δι-δοί-η	κλπ.
		Δ. 1				
		2	ἱ-σταῖ-τον[2]	τι-θεῖ-τον[2]	δι-δοῖ-τον[2]	
		3	ἱ-σταί-την	τι-θεί-την	δι-δοί-την	
		Πλ. 1	ἱ-σταί-μεν	τι θεῖ-μεν	δι-δοῖ-μεν	
		2	ἱ-σταί-τε	τι-θεῖ-τε	δι-δοῖ-τε	
		3	ἱ-σταί-εν	τι-θεῖ-εν	δι-δοῖ-εν	
Προστακτική.		Ἑν. 2	ἵσ-τη[3]	τί-θει[3]	δί-δου[3]	δεικ-νῦ[3]
		3	ἱ-στᾰ́-τω	τι-θέ-τω	δι-δό-τω	δεικ-νῦ́-τω
		Δ. 2	ἵ-στᾰ-τον	τί-θε-τον	δί-δο-τον	δείκ-νῡ-τον
		3	ἱ-στᾰ́-των	τι-θέ-των	δι-δό-των	δει-κνῦ́-των
		Πλ. 2	ἵ-στᾰ-τε	τί-θε-τε	δί-δο-τε	δείκ-νῡ-τε
		3	ἱ-στᾰ́-τωσαν καὶ ἱ-στάντων	τι-θέ-τωσαν καὶ τι-θέντων	δι-δό-τωσαν καὶ δι-δόντων	δεικ-νῦ́-τωσαν καὶ δεικ-νύντων
Ἀπαρέμ.			ἱ-στᾰ́-ναι	τι-θέ-ναι	δι-δό-ναι	δεικ-νῦ́-ναι
Μετοχή.			ἱ-στᾰ́ς, ᾶσα, ᾰ́ν Γεν. ᾶντος	τι-θείς, εἶσα, έν Γεν. έντος	δι-δούς, οῦσα, όν Γεν. όντος	δεικ-νῦ́ς, ῦσα, ύν Γεν. ύντος

[1] Καὶ δεικνύω, εις κλπ. (§ 134, Σ. ς΄.).—[2] Ἴδε § 131, Σ. 6΄.—[3] § 134, Σ. γ΄.—[4] Περὶ τ
τῶν δύναιο, ἐπίσταιο, κρέμαιο ἴδε § 134, Σ. δ΄.—[5] Οἱ τύποι οὗτοι εἰς οίμην προτιμῶνται τῶν ε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μέσον.

στα-	θε-	δο-	δεικ-
ι-στᾰ-μαι	τί-θε-μαι	δί-δο-μαι	δείκ-νῡ-μαι
ῐ-στᾰ-σαι	τί-θε-σαι	δί-δο-σαι	δείκ-νῡ-σαι
ῐ-στᾰ-ται	τί-θε-ται	δί-δο-ται	δείκ-νῡ-ται
ῐ-στᾰ΄-μεθον	τι-θέ-μεθον	δι-δό-μεθον	δείκ-νῡ΄-μεθον
ῐ στα-σθον	τί-θε-σθον	δί-δο-σθον	δείκ-νυ-σθον
ῐ-στα-σθον	τί-θε-σθον	δί-δο-σθον	δείκ-νυ-σθον
ῐ-στᾰ΄-μεθα	τι-θέ-μεθα	δι-δό-μεθα	δείκ-νῡ΄-μεθα
ῐ-στα-σθε	τί-θε-σθε	δί-δο-σθε	δείκ-νυ-σθε
ῐ-στα-νται	τί-θε-νται	δί-δο-νται	δείκ-νυ-νται
ῐ-στῶ-μαι[4]	τι-θῶ-μαι	δι-δῶ-μαι	δεικ-νύ-ωμαι
ῐ-στῇ	τι-θῇ	δι-δῷ	δεικ-νύ-ῃ
ῐ-στῆ-ται	τι-θῆ-ται	δι-δῶ-ται	κλπ.
ῐ-στώ-μεθον	τι-θώ-μεθον	δι-δώ-μεθον	
ῐ-στῆ-σθον	τι-θῆ-σθον	δι-δῶ-σθον	
ῐ-στῆ-σθον	τι-θῆ-σθον	δι-δῶ-σθον	
ῐ-στώ-μεθα	τι-θώ-μεθα	δι-δώ-μεθα	
ῐ-στῆ-σθε	τι-θῆ-σθε	δι-δῶ σθε	
ῐ-στῶ-νται	τι-θῶ-νται	δι-δῶ-νται	
ῐ-σταί-μην[5]	τι-θοι-μην[6]	δι-δοι-μην	δεικ-νῡ-οιμην
ῐ-σταῖ-ο	τι-θοῖ-ο	δι-δοῖ-ο	δεικ-νῡ΄-οιο
ῐ-σταῖ-το	τι-θοῖ-το	δι-δοῖ-το	κτλ.
ῐ-σταί-μεθον	τι-θοί-μεθον	δι-δοί-μεθον	
ῐ-σταῖ-σθον	τι-θοῖ-σθον	δι-δοῖ-σθον	
ῐ-σταί-σθην	τι-θοί-σθην	δι-δοί-σθην	
ῐ-σταί-μεθα	τι-θοί-μεθα	δι-δοί-μεθα	
ῐ-σταῖ-σθε	τι-θοῖ-σθε	δι-δοῖ-σθε	
ῐ-σταῖ-ντο	τι-θοῖ-ντο	δι-δοῖ-ντο	
ῐ-στᾰ-σο[7]	τι-θε-σο[7]	δι-δο-σο[7]	δεικ-νῡ-σο
ῐ-στά-σθω	τι-θέ-σθω	δι-δό-σθω	δεικ-νύ-σθω
ῐ-στα-σθον	τί-θε-σθον	δί-δο-σθον	δείκ-νυ-σθον
ῐ-στά-σθων	τι-θέ σθων	δι-δό-σθων	δεικ-νύ-σθων
